mus, brevi enim divino favente numine, curabimus ut omnes fidem nostram, illam ipsam esse agnoscant quam Dominus noster Iesus Christus tradidit, Apostoli prædicarunt & Orthodoxa docuit Ecclesia. Quapropter quum Orthodoxi quidam quid de particularibus quibusdam articulis sentiamus nos impræsentiarum interrogarint, nostramque super hac re sententiam expetierint, ea quæ sequuntur, superioribus, uti videtis, annectimus.

Ἐρώτησις α΄.

Εἰ δεῖ τὴν ἱερὰν γραφὴν κοινῶς παρὰ πάντων τῶν χριστιανῶν ἀναγινώσκεσθαι.

Ἀπόκρισις.

Ὀφείλουσιν οἱ πιστοὶ πάντες χριστιανοὶ τὰ τῆς ἱερᾶς γραφῆς, εἰ μὴ πάντα, ἀλλὰ γοῦν τὰ ἀναγκαῖα οὐκ ἀγνοεῖν, καὶ πιστεύειν, καὶ ὁμολογεῖν, καὶ ἀπαγγέλλεσθαι τὰ ἐν αὐτῇ. οὐδὲ γὰρ ἄλλοθεν ἢ παρὰ τῆς ἱερᾶς γραφῆς μανθάνομεν, ἢ αὐτὴν ἀναγινώσκοντες, ἢ τὰ ἐν αὐτῇ παρὰ πιστῶν ἀνθρώπων ἀπαρεγμηνεύτως ἀκούοντες. ὡς γὰρ τὸ ἀκούειν τὰ τῆς ἱερᾶς γραφῆς οὐδενὶ τῶν χριστιανῶν ἀπηγόρευται, οὕτως οὐδὲ τὸ ἀναγινώσκειν, ἐγγὺς γὰρ αὐτῶν ἐστὶ τὸ ῥῆμα, καὶ ἐν τῷ στόματι καὶ τῇ καρδίᾳ. διὰ τοῦτο ὁ πιστὸς χριστιανὸς, ἐν ὁποίᾳ οὖν τάξει ἀδικηθείη προφανῶς ὑστερούμενος καὶ κωλυόμενος, ἢ τῆς ἀκροάσεως τῆς ἱερᾶς γραφῆς, ἢ τῆς ἀναγνώσεως. ἴσον γάρ ἐστιν

ὑστερεῖν

Interrogatio prima.

An ſacra Scriptura communiter ab omnibus Chriſtianis legi debeat.

Reſponſio.

FIdeles omnes Chriſtiani ſacræ Scripturæ ſi non omnia, at ea ſaltem quæ in ea cognitu neceſſaria ſunt, noſſe, credere, confiteri ac profiteri debent, neque enim aliunde quàm à ſacra Scriptura diſcere poſſumus, eam videlicet aut legentes aut ab ore fidelium virorum ſyncere eam enarrantium excipientes; quemadmodum enim ſacræ Scripturæ auditorem eſſe nulli Chriſtiano prohibitum, ſic nullus ejus lectione arcendus eſt, prope enim eſt verbum in ore illorum & in corde illorum. Idcirco fideli Chriſtiano cujuſcumque tandem ſit ordinis ac conditionis manifeſta infertur injuria dum ſacræ Scripturæ auditione vel lectione privatur & arcetur. Vnum enim idem-

ὑστερεῖν καὶ ἅπτεσθαι κωλύειν τροφῆς πνευματικῆς τὴν πεινῶσαν ψυχήν.

δευτερ. ς.ς. καὶ ιζ.ιη. ἰησοῦς ναυῆ. α.η. δευτερ. λα.ια. νεεμ. η.γ. ἰωαν. ε.λθ. ἰωαν. ι.κζ. καὶ η.λα. λουκ. ις.κθ. καὶ δ.ις. πραξ. ιγ.κζ. καὶ ιε.κα. καὶ η.κη. καὶ ιζ.ια. β τιμοθ. γ.ιε. ρωμαι. ιε.δ. κολασ. δ.ις. α θεσσαλ. ε.κζ. α ἰωαν. α.δ. καὶ β.βι. ἠσαΐ. ε.ιγ. ἱερεμ. η.θ. ὠσηὲ. δ.ς. ἰωαν. ζ.μθ. λουκ. ια.νβ. ματθ. κγ.ιγ. καὶ ιε.ιδ. α ἰωαν. δ.α. α θεσσαλ. ε.ιθ.κ. ἰωαν. ιζ.γ. καὶ κα.λα. ψαλμ. ριη.θ. καὶ α.α.β. ψαλμ. ριη.α. λουκ. ια.κη. ἀποκ. α.γ.

Ἐρώτησις β′.

Εἰ σαφής ἐστιν ἡ γραφὴ τοῖς ἀναγινώσκουσι χριστιανοῖς;

Ἀπόκρισις.

ΤΗν ἱερὰν γραφὴν ἱκανὰς μὲν ἔχειν πολλαχοῦ τὰς δυσκολίας, ἐν τῷ γράμματι, καὶ ταῖς λέξεσι, βέβαιόν ἐστι. τὰ δὲ ἐν αὐτῇ τῆς πίστεως δόγματα λαμπρὰ καὶ σαφῆ τοῖς ἀναγεννηθεῖσι καὶ φωτισθεῖσιν ὑπὸ τοῦ ἁγίου πνεύματος. ἐξ οὗ δῆλον τὸν ἀναγινώσκοντα δύνασθαι μὲν πολλάκις εἰς δυσκολίαν

τὴν

que animam eſurientem cibo ſpirituali vel privare vel quo minus attingat & deguſtet prohibere.

Deuter. 6. 6. & 17. 18. Ioſue. 1. 8. Deuter. 31. 11. Nehem. 8. 31. Ioan. 5. 39. Ioan. 10. 27. & 8. 31. Luc. 16. 29. & 4. 16. Actor. 13. 27. & 15. 21. & 8. 28. & 17. 11. 2 Timoth. 3. 15. Rom. 15. 4. Coloſſ. 4. 16. 1 Theſſ. 5. 27. 1 Ioan. 1. 4. & 2. 12. Eſai. 5. 13. Ierem. 8. 9. Hoſee. 4. 6. Ioan. 7. 49. Luc. 11. 52. Matth. 23. 13. & 15. 14. 1 Ioan. 4. 1. 1 Theſſ. 5. 19. 20. Ioan. 17. 3. & 21. 31. Pſal. 118. 9. & 1. 1. 2. Pſal. 118. 1. Luc. 11. 28. Apoc. 1. 3.

Interrogatio ſecunda.

An perſpicua ſit, ſeu intellectu facilis ſcriptura Chriſtianis lectoribus?

Reſponſio.

MVltas quidem & multis in locis ſacræ Scripturæ ſive literalem ſenſum ſpectes ſive dictiones, difficultates ineſſe certum eſt, quæ verò complectitur fidei dogmata, à Spiritu ſancto regeneratis & illuminatis perſpicua & plana eſſe. Vnde manifeſtum fit lectorem ſæpe quidem poſſe in aliquam

ἣν τινα οὖν ἐμπεσεῖν. ἀλλὰ τῷ τοῦ παναγίου πνεύματος χάριτι φωτισθέντα παρ' αὐτῆς τῆς γραφῆς ἀναλόγως τὰς λέξεις καὶ τὸ γράμμα συγκρούοντα τήν τε λύσιν ἀναλαμβάνειν, καὶ σὺν αὐτῇ ὀρθὴν τὴν διάνοιαν. διὸ καὶ λύχνος καὶ φῶς ἡ γραφή, φωτίζουσα τὴν διάνοιαν τῶν πιστῶν, καὶ ἀπελαύνουσα τὸ σκότος.

β πέτρου γ. ε. ψαλμ. ιη. η. καὶ ριη. ρδ. καὶ κδ. ε. ἡσαΐ. νγ. ι. ἱερεμ. λα. λγ. ἰωαν. ϛ. με. ματθ. ια. κε. κεφ. ιγ. ια. καὶ ιϛ. ιζ. λουκ. κδ. με. α ἰωαν. β. κζ. α κορινθ. α. ιη. καὶ β. ζ. καὶ ιβ. γ. β κορινθ. α. ιγ. καὶ γ. θ. καὶ ιγ. κεφ. δ. γ. ἐφεσ. α. ιζ. κεφ. γ. ιϛ. ιθ. β πέτρου. α. ιθ. ῥωμαι. ιβ. ϛ.

Ερώτησις γ'.

Ιερὰν γραφὴν ποῖα βιβλία καλεῖς;

Ἀπόκρισις.

ΙΕρὰν γραφὴν πάντα τὰ κανονικὰ βιβλία λέγομεν, ἅπερ ὡς κανόνα τῆς πίστεως ἡμῶν καὶ τῆς σωτηρίας παρελάβομεν, καὶ κρατοῦμεν. μάλιστα ὅτι θεόπνευστον ἡμῖν προβάλλουσι τὴν διδασκαλίαν,

difficultatem incidere, ſed à Spiritu ſancto illuminatum ab eadem Scripturâ, ſi analogice & dictiones & literalem ſenſum inter ſe compoſuerit & contulerit, cum ſolutionem, tum ſimul rectam ac veram intelligentiam aſſequi valere, eo quod Scriptura lucerna ſit ac lumen quod fidelium mentem illuminat ac tenebras fugat.

2 Petri.3.5. Pſal.18.8. & 118.104. & 24.5. Eſai. 53.10. Ierem.31.33. Ioan.6.45. Mat.11.25. cap. 13.11. & 16. 17. Luc. 24.45. 1 Ioan.2.27. 1 Cor. 1.18. & 2.7. & 12. 3. 2.Cor.1.13. & 3.9. & 13. c.4.3. Epheſ.1.17. cap.3.16.19. 2 Petr.1.19.Rom.12.6.

Interrogatio tertia.

Quoſnam libros Scripturæ nomine dignaris?

Reſponſio.

Sacram Scripturam Canonicos omnes libros appellamus quos tanquam fidei ac ſalutis noſtræ regulam accepimus atque adeo retinemus, eaque potiſſimum de cauſſa quòd divinitus inſpiratam nobis ſuggerant doctrinam,

 quæ

καὶ αὐτάρκη κατηχῆσαι, φωτίσαι καὶ τελειῶσαι τὸν τῇ πίστει προσερχόμενον. ταῦτα δὲ τὰ κανονικὰ βιβλία τοσαῦτα τὸν ἀριθμὸν εἶναι πιστεύομεν, ὅσα ἡ ἐν λαοδικείᾳ σύνοδος ἀπεφήνατο, καὶ ἡ τοῦ χριστοῦ καθολικὴ καὶ ὀρθόδοξος ἐκκλησία ὑπὸ τοῦ παναγίου πνεύματος φωτισθεῖσα, μέχρι τοῦ παρόντος ὑπαγορεύει. ἅπερ δὲ ἀπόκρυφα λέγομεν, διὰ τοῦτο τὸ ἐπώνυμον οὕτως ἔχουσιν, ὅτι τὸ κῦρος παρὰ τοῦ παναγίου πνεύματος οὐκ ἔχουσιν ὡς τὰ κυρίως καὶ ἀναμφιβόλως κανονικὰ βιβλία, ἐν οἷς ἡ τοῦ μωϋσέως πεντάτευχος, καὶ τὰ ἁγιόγραφα καὶ οἱ προφῆται, ἅτινα ὥρισεν ἀναγινώσκεσθαι ἡ ἐν λαοδικείᾳ σύνοδος, ἀπὸ τῆς παλαιᾶς διαθήκης βιβλία εἴκοσι δύο. ἀπὸ δὲ τῆς νέας πλουτοῦμεν τοὺς τέσσαρας εὐαγγελιστὰς, τὰς πράξεις, τὰς ἐπιστολὰς μακαρίου παύλου, καὶ τὰς καθολικὰς, αἷς συνάπτομεν καὶ τὴν ἀποκάλυψιν τοῦ ἠγαπημένου. καὶ ταῦτα μὲν εἶναι τὰ κανονικὰ βιβλία κρατοῦμεν. καὶ ταῦτα ἱερὰν γραφὴν λέγεσθαι ὁμολογοῦμεν.

quæ tum ad inſtitutionem, tum ad illuminationem & perfectionem illius qui ad fidem accedit ſufficiat : hunc vero Canonicorum librorum numerum eſſe credimus, quem Laodicenſis Synodus pronuntiavit,& quem Catholica & Orthodoxa Chriſti Eccleſia à Spiritu ſancto illuminata in hunc uſque diem confitetur. At ii,quos Apocryphos appellamus , hoc propterea cognomine inſigniuntur,quòd eandem à Spiritu ſancto authoritatem & approbationem non acceperint quam qui propriè & citra controverſiam pro Canonicis habentur, quorum ex numero ſunt,Pentateuchus, Hagiographa ac Prophetæ, quos Laodicenſis Synodus legendos eſſe ſtatuit, veteris nempe Teſtamenti libros viginti duos. Ex novo verò inter opes noſtras recenſemus quatuor Euangeliſtas,Acta Apoſtolorum, Epiſtolas S.Pauli, & Catholicas,quibus etiam addimus Apocalypſin dilecti à Domino,& hos quidem, Canonicos eſſe libros aſſerimus,& hæc, ſacrã appellari Scripturam confitemur.

β τιμοθ. ιε. ιϛ. α πέτρου. α. κα. α τιμοθ. δ. ι. α ἰωάν. ε. ϛ. ῥωμαί. γ. α. β. πράξ. γ. κδ. καὶ κϛ. κβ. α κορινθ. ιε. γ. δ. πράξ. ιζ. ια. δεύτερ. δ. β. κεφ. ε. α. κεφ. ϛ. ἰησοῦς ναυῆ. α. ζ. κεφ. κγ. ϛ. ματθ. κβ. κθ. μάρκ. ζ. κζ. ἐφεσ. β. κ. α κορ. γ. ι. ια. ιβ. ἱερεμ. κγ. κη. ἰωάν. γ. λ. α πέτρου. δ. ια. παροιμ. λ. ε. ἐκκλησ. ιβ. ι. γαλατ. α. η. κεφ. ϛ. ιϛ. καὶ γ. ιε. α κορινθ. δ. ϛ. δεύτερ. ιβ. λβ. ἀποκ. κβ. ιη. ιθ.

Ἐρώτησις δʹ.

Περὶ τῶν εἰκόνων πῶς ὀφείλομεν φρονεῖν;

Ἀπόκρισις.

Ὡς παρὰ τῆς θείας καὶ ἱερᾶς γραφῆς διδασκόμεθα, λεγούσης τρανῶς, οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα. ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς, ὀφειλόντων ἡμῶν οὐ τῇ κτίσει, ἀλλὰ μόνῳ τῷ κτίστῃ καὶ ποιητῇ τοῦ οὐρανοῦ καὶ τῆς γῆς λατρεύειν, κἀκεῖνον μόνον προσκυνεῖν. ἐξ ὧν δῆλον ὅτι τὴν ἱστορίαν ἐπίσημον τέχνην οὖσαν οὐκ ἀποβάλλομεν, ἀλλὰ καὶ εἰκόνας ἔχειν καὶ τοῦ Χριστοῦ, καὶ τῶν ἁγίων τῷ βουλομένῳ παρέ-

2 Tim. 15.16. 1 Petr. 1.21. 1 Tim. 4.10. 1 Ioan. 5.5. Rom. 3.1.2. Actor. 3.24. & 26.22. 1 Cor. 15. 3. 4. Act. 17.11. Deut. 4.2. cap. 5.1. cap. 6. Iosue. 1.7. cap. 23.6. Mat. 22.29. Marc. 7.27. Eph. 2.20. 1 Cor. 3.10.11.12. Ierem. 23.28. Ioan. 3.30. 1 Petr. 4.11. Prov. 30.5. Eccles. 12.10. Galat. 1.8. cap. 6.16. & 3.15. 1 Cor. 4.6. Deut. 12.32. Apoc. 22.18.19.

Interrogatio quarta.

Quid nobis de Imaginibus sentiendum sit.

Responsio.

QVod à divinâ & sacrâ docemur Scripturâ, quippe quæ disertè dicat, Non facies tibi sculptile, neque omnem similitudinem quæ est in cœlo desuper, & quæ in terra deorsum, nec eorum quæ sunt in aquis sub terrâ; non adorabis ea, neque coles, quum non creaturam, sed creatorem & opificem cœli & terræ solum colere, solumque adorare debeamus. Ex quibus patet nos Picturam, ut quæ sit ars nobilis & illustris, non reprobare, imò verò effigies & Christi & Sanctorum habere, ei qui

παρέχομεν. τὴν δὲ λατρείαν καὶ θρησκείαν αὐτῶν, ὡς ἀπηγορευμένην παρὰ τοῦ ἁγίου πνεύματος ἐν τῇ ἱερᾷ γραφῇ ἐξουθενοῦμεν. ἵνα μὴ λάθωμεν ἀντὶ τοῦ κτίστου καὶ ποιητοῦ χρώματα καὶ τέχνην, καὶ κτίσματα προσκυνεῖν. καὶ τὸν ἄλλως φρονοῦντα ἄθλιον ἡγούμεθα, ὡς δεινὸν ἔχοντα σκότος ἐν ταῖς φρεσὶ, καὶ πεπωρωμένην τὴν καρδίαν. καὶ ἦν ἂν κρεῖσσον τοῦ θεοῦ ἐντολῇ ὑποτάσσεσθαι, ἢ ἀνθρώπων πείθεσθαι ματαιολογίαις. ὅπερ ἐν φόβῳ θεοῦ καὶ ἀγαθῇ συνειδήσει ἐκτιθέμεθα. εἰ καὶ στῆναι τὴν φορὰν κρεῖσσον ἢ καθ' ἡμᾶς εἶναι ὁμολογοῦμεν. οὕτω μὲν ἐγγράφως τοῖς ἐρωτήσασιν ἡμᾶς ἀποκρινάμενοι ἐπεράναμεν, καὶ τὰς ἀποκρίσεις τῇ ἡμετέρᾳ ὁμολογίᾳ συνήψαμεν. δώῃ δὲ ὁ κύριος τοῖς πᾶσιν ἐν πᾶσιν ὀρθῶς φρονεῖν, καὶ συνείδησιν εἰλικρινῆ.

Ἐδόθη ἐν κωνσταντινουπόλει μηνὶ ἰανουαρίῳ ͵αχλα.

Κύριλλος πατριάρχης κωνσταντινουπόλεως.

voluerit concedimus. Verùm earum adorationem & cultum utpote à Spiritu ſancto in ſacrâ Scripturâ prohibitum deteſtamur, ne creatoris ac conditoris loco colores, artificium & creaturas ignari adoremus. Secus ſentientem, ut qui denſiſſimis tenebris mentem occæcatam habeat, cuique cor penitus occalluerit miſerum arbitramur. Et ſatius quidem eſſet Dei mandato obtemperare, quàm vanis hominum ſermonibus morem gerere. Quod in timore Domini & bonâ freti conſcientiâ exponimus, etiamſi ad hunc impetum ſiſtendum vires noſtras minimè pares eſſe confiteamur. Et in hunc quidem modum ſcriptis ad interrogata reſpondentes finem fecimus, reſponſioneſque confeſſioni noſtræ adnexuimus. Det autem Dominus omnibus in omnibus bene ſentire & ſyncerâ uti conſcientiâ.

Datum Conſtantinopoli menſe Ianuario
cIↃ IↃC XXXI.

CYRILLVS PATRIARCHA
Conſtantinopoleωs.

Ἐξοδ. κ. δ. λευιτ. κϛ. α. δευτερ. δ. ιε. καὶ ε. η. κεφ.
κζ. ιε. ἡσαΐ. μ. ιη. κεφ. μδ. ιβ. καὶ μϛ. ε. πραξ. ιζ. κθ.
ῥωμαι. α. κγ. α ἰωαν. ε. κα. ἱερεμ. ι. η. ἀββακ. β. ιη.
ψαλμ. ριγ. ιδ. ἰωαν. δ. κγ. δευτερ. ϛ. ιγ. α βασιλ. ζ. γ.
ἡσαΐ. ξγ. ιϛ. γ βασιλ. η. λθ. ψαλμ. μθ. ιε. καὶ οε. ια.
ματθ. δ. ι. ῥωμαι. ι. ιγ. καὶ α. κε. γαλατ. δ. η. α κοριν.
ζ. κγ. πραξ. ι. κε. κολασσ. β. ιη. ἀποκαλ. ιθ. ι. καὶ κβ. η. θ.
ματθ. ϛ. θ. λουκ. ια. α. σοφία σολομ. ιδ. ιδ.

ΤΕΛΟΣ.



Exod.20.4. Levit.26.1. Deut.4.15. & 5.8. cap. 27.15. Esai.40.18. cap.44.12. & 46.5. Act.17.29. Rom.5.22. 1 Ioan.5.21. Ierem.10.8. Abbac. 2. 18. Psalm.113.12. Ioan. 4.32. Deut. 6.13. 1 Reg. 7. 3. Esai.63.16. 3 Reg.8.39. Psal.49.15. & 75.11. Mat. 4.10. Rom.10.13. & 1.25. Gal.4.8. 1 Cor.7.23. Act.10.25. Coloss. 2.18. Apoc. 19.10. & 22. 8. 9. Matth. 6. 9. Luc.11.1. Sapient.Salom. 14.12.

F I N I S.



CYRILLI BERRHOEENSIS

Patriarchæ Constantino-
politani

CENSVRA SYNODALIS

Adversus Cyrilli Lucaris Confessio-
nem fidei promulgata.

ΙΣΟΝ

τῆς κατὰ τοῦ

ΚΥΡΙΛΛΟΥ ΤΟΥ ΛΟΥΚΑΡΕΩΣ

συγγραφείσης τῷ ἱερῷ Κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ ἐκκλησίας ψήφου.

Ὁ Κωνσταντινουπόλεως ἐλέῳ θεοῦ πατριάρχης Κύριλλος ὁ ἐκ Βεῤῥοίας.

Ψῆφος τῆς ἐν Κωνσταντινουπόλει συνόδου κατὰ τῶν αἱρετικῶν κεφαλαίων Κυρίλλου τοῦ Λουκάρεως, τοῦ παραχωρήσει θεοῦ πατριαρχεύσαντος ἐν Κωνσταντινουπόλει.

Πάντων μὲν τῶν κοινῇ συντελούντων τοὺς πεπιστευμένους τοῦ πῶς δεῖ φέρεσθαι οἴακας φροντίδα ποιεῖν, διαφερόντως δὲ τῶν εἰς εὐσέβειαν ἡκόντων θεσμὸς πατρῷος, μᾶλλον δὲ θεοῦ τὸ ἐν προφήταις τὸ τοῦ ποιμνίου δεινὸν ὑπ' ἀμελείας γεγονὸς ἀπειλοῦντος ἐκ τῶν τῶν ποιμένων ἐκζητῆσαι χειρῶν πρόσταγμα.

EXEMPLVM

transſumtum ſententiæ contra

CYRILLVM LVCARIM,

adſcriptæ ſacro Codici Magnæ noſtræ Eccleſiæ.

Conſtantinopolitanus miſeratione divina Patriarcha Cyrillus Berrhœenſis.

Sententia Synodi Conſtantinopolitanæ contra hæretica capita Cyrilli Lucaris, qui Dei permiſſione fuit Patriarcha Conſtantinopolitanus.

OMnium quidem, quæ publicæ conferunt utilitati, eos, quibus credita ſunt gubernacula adminiſtranda, curam gerere, præcipuè verò rerum ad pietatem ſpectantium, lex paterna, potiùs verò Dei in prophetis minantis, malum gregis ex negligentia patratum, è manibus paſtorum quærere, eſt præ-

 ceptum.

πρόσταγμα. ἐλέγχειν τοίνυν, καὶ στηλιτεύειν εἰκὸς τὸ κακὸν, ἵνα μὴ ὑπ' ἀπειρίας ὡς ἀγαθοῦ τούτου ἀντέχωνται οἱ ἁπλούστεροι. καὶ ταῦτα ὁ τόδε προστιθέμενος οὐ γυμνὸν, ἀλλ' ὡς ἀγαθὸν κουφολογίαις τισὶ, καὶ δολίοις προστίθεται παραπετάσμασι. τοιαῦτα γὰρ τοῦ ἀρχεκάκου ἐχθροῦ ἀρχῆθεν ἦν, καὶ τῶν αὐτοῦ ὀπαδῶν τὰ μηχανήματα. ἐπεὶ οὖν τοιοῦτος ἦν ἐν τοῖς δόγμασιν ὁ θανατηφόρου ἰοῦ μεμεστωμένος, ὁ περὶ τὰ καίρια ἀνιάτως νοσήσας, καὶ ἀθέως τε, καὶ ἀθέσμως πατριαρχεύσας πρὸ ὀλίγου ἐν Κωνσταντινουπόλει Λούκαρις Κύριλλος (οὐ μόνον γὰρ ξένα τοῦ ὀρθοῦ ἐφρόνει λόγου τῆς πίστεως, ἀλλὰ καὶ κακούργως ὑπεκρίνατο πρὸς τοὺς μὴ ἀρτίους τὴν φρένα, καὶ βεβηκότας τὸν νοῦν, ὁμολογεῖν τὰ ἔκπαλαι ὀρθὰ τῆς ἀμώμου ἀνατολικῆς ἐκκλησίας διδάγματα. ὥστε ἐκ τοιαύτης συνέβαινεν ὑπουλότητος περιστέλλεσθαι τὸ αἶσχος τῆς οἰκείας ἀπάτης τῷ ὀρθῷ λόγῳ τῆς πίστεως) κατεπειγούσῃ ἀνάγκῃ, οἱ νῦν ἐν τῇ βασιλευούσῃ τῶν πόλεων θείᾳ προνοίᾳ τυχόντες ὡς περὶ τῶν τοιούτων δοῦναι λό-

γον

ceptum. Arguere igitur decet, & in malum invehi, ne ob imperitiam, tanquam bono, huic ſimpliciores adhæreant. Et præſertim cum, qui hoc proponit, non nudum, ſed veluti bonum, quibuſdam orationis vanitatibus atque doloſis proponit involucris. Talia ſiquidem hoſtis malorum auctoris ab initio, ac ejus deinde aſſeclarum, fuerunt machinamenta. Quoniam igitur talis erat in dogmatibus, mortifero plenus veneno, immedicabiliter infirmatus circa præcipua, qui impius & exlex Patriarcha fuit paulo ante Conſtantinopolitanus, Lucaris Cyrillus, (non ſolum enim nova atque aliena à recta fidei ratione ſentiebat, ſed fraudulenter apud non integros mente, & intellectu non procedentes, ſimulabat, confiteri ſe ea, quæ olim recta inculpatæ orientalis Eccleſiæ erant documenta, ita ut ex tali verſutia contingeret, propriæ fraudis dedecus rectæ fidei rationi inuri,) cogente neceſſitate, qui nunc in Imperiali omnium civitate divina providentia reperti, tan-

γον μέλλοντες πατριάρχαι καὶ τῶν λοιπῶν ἀρχιερέων χορὸς, δεῖν ᾠήθημεν κατὰ τὸν ἱερὸν τῶν πνευματοφόρων πατέρων τῶν κατὰ καιροὺς ἀναγκαίως ἐν συνόδοις διαπρεψάντων θεσμὸν, καὶ τύπον δημοσιεῦσαι τοῦτον τοῖς πᾶσι, καὶ ἀναθέματι καθυποβαλεῖν. καὶ ἔτι (ἵνα μὴ τὸ ἀληθὲς τῆς ἀσεβείας ὑπό τινων ἀτάκτως περιηχηθέντων διακρούηται) τῷ αὐτῷ δεσμῷ παραδοῦναι τοὺς ὡς εἰς εὐσεβεῖς ἀποδεχομένους τὰς αὐτοῦ εἰκαιολογίας.

Κυρίλλῳ τοὐπίκλην Λουκάρει τῷ πᾶσαν τοῦ Χριστοῦ ἀνατολικὴν ἐκκλησίαν τῇ τῶν παρανόμων αὐτοῦ κεφαλαίων ἐπιγραφῇ καλβινοφρονοῦσαν συκοφαντήσαντι, ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι καὶ πιστεύοντι τὴν τοῦ Χριστοῦ ἁγίαν ἐκκλησίαν ἐνδεχόμενον εἶναι ψεύδεσθαι. φησὶ γὰρ ἐν τῷ δευτέρῳ αὐτοῦ κεφαλαίῳ, ταύτην μὴ ὑπὸ τοῦ ἁγίου πνεύματος διδάσκεσθαι, ἀλλ' ὑπ' ἀνθρώπου, καὶ τὸν ἄνθρωπον ἐνδεχόμενον ἁμαρτῆσαι ἐξ ἀγνοίας, καὶ ἀπατῆσαι, καὶ ἀπατηθῆναι. ἐν δὲ τῷ δωδεκάτῳ

τ

quam de talibus rationem reddituri, Patriarchæ, & ceterorum Pontificum cœtus, oportere censuimus, juxta sacrum à Spiritu sancto afflatorum Patrum, qui necessariis temporibus in Synodis excoluerunt, præscriptum & normam, publica hunc nota afficere coram omnibus, & anathemati submittere; & amplius, (ne summa veritas à quibusdam effrene circumstrepentibus obturbetur atque propulsetur,) eodem vincire vinculo recipientes, tanquam pias ejus vaniloquentias.

Cyrillo, cognomento Lucari, qui omnem orientalem Christi Ecclesiam, in impiorum ejus capitum inscriptione, cum Calvino sentire, calumniose pronunciavit, ac dixit; Anathema.

Cyrillo, dogmatizanti, & credenti, possibile esse, sanctam Christi Ecclesiam mentiri. Inquit enim in secundo ejus capite, hanc non à Spiritu Sancto doceri, sed ab homine; & hominem ex ignorantia errare possibile esse, & decipere, & decipi. In duodecimo verò

τῶν αὐτοῦ κεφαλαίων, ἀληθὲς καὶ βέβαιόν ἐστιν ἐν τῇ ὁδῷ δύνασθαι ἁμαρτάνειν τὴν ἐκκλησίαν, καὶ ἀντὶ τῆς ἀληθείας τὸ ψεῦδος ἐκλέγεσθαι. ἐπεὶ ἐκ τοιούτων ἐρεσχελιῶν, μᾶλλον δὲ ἐκ τοιαύτης σαφοῦς μανίας ἀναγκαίως ἂν συμπερανθείη, τὸν θεάνθρωπον ἰησοῦν τὴν αὐτοαλήθειαν ψεύδεσθαι, καὶ μὴ μεθ' ἡμῶν (ἤτοι μετὰ τῆς ἐκκλησίας) ἕως τῆς συντελείας τοῦ αἰῶνος διατελεῖν ὡς ὑπέσχετο, καὶ τὸ τοῦ θεοῦ πνεῦμα μὴ λαλεῖν ἐν αὐτῇ. καὶ πύλας ᾅδου (δηλαδὴ αἱρέσεις ἀθέων) κατισχύειν τῆς ἐκκλησίας, καὶ πρὸς τούτοις ἀμφιβάλλειν, καὶ ἐνδοιάζειν ἕκαστον, εἰ ἀληθὲς τὸ ἀνὰ χεῖρας θεῖον εὐαγγέλιον ἐστὶν ἐκ πνεύματος ἁγίου, ἅπερ ὑπὸ τῆς ἐκκλησίας παραδοθὲν, καὶ μὴ ἕτερον. ἐνδεχόμενον γάρ φησιν ἀπατῆσαι, καὶ ἀπατηθῆναι τὴν ἐκκλησίαν, καὶ ἀντὶ τῆς ἀληθείας τὸ ψεῦδος ἐκλέγεσθαι. τῷ τοιούτῳ φαμὲν παγκακίστῳ αἱρετικῷ ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι καὶ πιστεύοντι, τοὺς μὲν τὸν ἀγαθὸν θεὸν πρὸ καταβολῆς κόσμου ἐκλέξαι εἰς δόξαν, καὶ προορίσαι ἔργων χωρίς·

τοὺς

eorundem capitum: Verum & certum eſt, in via poſſe errare Eccleſiam, & pro veritate mendacium eligere. Cum ex hujuſmodi nugamentis, potiùs verò ex hujuſmodi aperta inſania, neceſſariò concluderetur, Deum hominem Ieſum, ipſam veritatem, mentiri; minimeque nobiſcum, vel cum Eccleſia, uſque ad conſummationem ſæculi manere, ut promiſit; atque Spiritum non loqui in ipſa; & portas inferi (ſcilicet impiorum hæreſes) prævalere contra Eccleſiam. Et ad hæc, dubitare & hærere unumquemque, ſi verum ſit, Euangelium (quod præ manibus habemus) ex Spiritu Sancto velut ab Eccleſia datum, & non aliud. Poſſibile enim, ait, fallere & falli Eccleſiam, & pro veritate mendacium eligere. Tali, inquimus, omnium peſſimo hæretico, Anathema.

Cyrillo, dogmatizanti & credenti, quoſdam quidem ante conſtitutionem mundi bonum Deum elegiſſe in gloriam, & prædeſtinaſſe ſine operibus;

 alios

τοὺς δὲ περὶ τοῦ τὸν αἰῶνα γενέσθαι ἀποβεβληκέναι αἰτίας χωρίς. καὶ μηδαμῶς τὰ ἔργα ἀρκετὰ εἶναι ἀντιμισθίαν αἰτῆσαι ἐν τῷ τοῦ χριστοῦ βήματι. ὡς ἀρίδηλον ἐν τῷ τρίτῳ, καὶ τρισκαιδεκάτῳ αὐτοῦ κεφαλαίῳ. ἐπεὶ συμβαίνει αἴτιον τὸν θεὸν κακοῦ εἶναι, καὶ ἄδικον, ἢ μὴ δύνασθαι πάντας τοὺς ἐπὶ τῷ αὐτῷ τοῦ ἀδὰμ παραπτώματι ὑπευθύνους σῶσαι, καὶ πρὸς τούτοις ψεύδεσθαι τὰ εὐαγγέλια. ἐπείνασα καὶ ἐδώκατέ μοι φαγεῖν. καὶ δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ἡμῖν βασιλείαν. λέγοντα καὶ τὸ τοῦ χριστοῦ στόμα παῦλον, καὶ τὸν τοῦ χριστοῦ ἀδελφὸν ἰάκωβον, τὸν μὲν μὴ τοὺς ἀκροατὰς τοῦ νόμου, ἀλλὰ τοὺς ποιητὰς δικαίους εἶναι νομοθετοῦντα. τὸν δὲ τὴν πίστιν χωρὶς ἔργων εἶναι νεκράν. ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι, καὶ πιστεύοντι ἐσκιασμένως ἄγαν καὶ δολίως ἐν τῷ ὀγδόῳ αὐτοῦ κεφαλαίῳ, μὴ τοὺς ἁγίους μεσίτας καὶ πρέσβεις ὑπὲρ ἡμῶν πρὸς θεὸν εἶναι, τῷ λέγειν, μεσίτην εἶναι μόνον τὸν ἰησοῦν, καὶ μόνον κήδεσθαι τῶν ἰδίων, ὡς ἀναιρέτῃ πολλῶν λογίων τοῦ

πνεύ-

alios verò, antè quam ſæculum fieret, repudiaſſe ſine cauſa; & nequaquam opera ſufficere ad petendam remunerationem in Chriſti tribunali, ut manifeſtum eſt in III & XIII ejus cap. quoniam contingit, Deum auctorem eſſe mali, & injuſtum; vel non poſſe omnes eidem Adami lapſui obnoxios ſalvare; & ad hæc, mentiri Euangelia, dicentia, Eſurivi, & dediſtis mihi manducare; &, Venite benedicti Patris mei, hereditate poſſidete præparatum vobis regnum; & Paulum, os Chriſti, atque fratrem Domini Iacobum; hunc quidem, Non auditores legis, ſed factores, juſtos eſſe, legem ferentem; illum vero, fidem ſine operibus mortuam, declarantem: Anathema.

Cyrillo, dogmatizanti & credenti, obſcurè ſatis & ſubdolè in VIII ejus cap. Sanctos non eſſe mediatores, & interceſſores pro nobis ad Deum; dicendo, mediatorem ſolum eſſe Ieſum, & ſolum propria curare; ut deſtructori multorum oraculorum Spiritus; ait enim

 Deus,

ποδύματος. φησὶ γὰρ ὁ θεός. ὑπερασπιῶ τῆς πόλεως ταύτης διὰ δαυὶδ τὸν παῖδα μου. καὶ οἱ ἐν καμίνῳ διαγεῖς παῖδες. μὴ δὴ παραδώσεις ἡμᾶς εἰς τέλος διὰ ἀβραὰμ τὸν ἠγαπημένον ὑπό σου. καὶ διὰ ἰσαὰκ τὸν δοῦλον σου, καὶ ἰσραὴλ τὸν ἅγιόν σου. καὶ πέτρος δέ φησι. σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον τὴν τούτων μνείαν ποιεῖσθαι. πῶς γὰρ σπουδάσει μετὰ τὴν ἔξοδον, εἰ μὴ πρεσβεύων, καὶ πρὸς θεὸν δεόμενος; ἀλλὰ καὶ ὁ τῆς ἁγίας μεγάλης καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου τῆς ἐν νικαίᾳ ὅρος νομοθετεῖ, ἁπάσας τὰς ἐκκλησιαστικὰς ἐγγράφως ἢ ἀγράφως τεθεσπισμένας ἡμῖν παραδόσεις ἀκαινοτομήτως φυλάττειν ἐν ἐπιτιμίῳ ἀναθέματος. ὧν ἐστι μία καὶ ἡ τῶν ἁγίων ἐπίκλησις. ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι, καὶ πιστεύοντι μὴ πάντα ἄνθρωπον αὐτεξούσιον εἶναι, ὡς ἐναργὲς ἐν τῷ δεκάτῳ αὐτοῦ τετάρτῳ κεφαλαίῳ, ἀλλ' ἐξουσίαν ἔχειν ἕκαστον ἁμαρτίαν ποιεῖν, ἀγαθὸν δὲ μηδαμῶς, ὡς ἀναιροῦντι τὰς προφητικὰς καὶ εὐαγγελικὰς δεσποσύνους φωνὰς τοῦ πνεύματος, ἐὰν

Deus, Protegam civitatem hanc propter David ſervum meum, & ſancti tres pueri in camino; Ne igitur tradas nos in finem, propter Abraham à te dilectum, & propter Iſaac ſervum tuum, & propter Iacob ſanctum tuum; & Petrus ait, Dabo operam autem & frequenter vos habere poſt obitum meum, horum memoriam facere: quomodo enim dabit operam poſt obitum, niſi interpellans, & Deum exorans? ſed & ſanctæ magnæ & œcumenicæ ſeptimæ Synodi Nicenæ definitio legem ſtatuit, omnes Eccleſiaſticas ſcripto vel ſine ſcripto præceptas nobis traditiones, ſine innovatione ſervate ſub anathematis pœna; quarum una eſt Sanctorum invocatio: Anathema.

Cyrillo, dogmatizanti & credenti, non eſſe omnem hominem liberum vel ſui juris; ut clarum eſt in XIV ejus cap. ſed unumquemque habere quidem poteſtatem peccandi, bonum autem faciendi minimè; ut deſtruenti Propheticas & Euangelicas divinas Spiritus voces,

ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου. καὶ προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε. ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν. δεῦτε πρός με πάντες καὶ τὰ ὅμοια. πρὸς τούτοις τὰς πρὸς τὸ ἀγαθὸν ὁσημέραι παραινέσεις, ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι καὶ πιστεύοντι μὴ ἑπτὰ εἶναι τὰ τῆς ἐκκλησίας μυστήρια, ἤγουν βάπτισμα, χρίσμα, μετάνοιαν, εὐχαριστίαν, ἱερωσύνην, εὐχέλαιον, καὶ γάμον, κατὰ τὴν τοῦ χριστοῦ διάταξιν, καὶ τὴν τῶν ἀποστόλων παράδοσιν, τήν τε τῆς ἐκκλησίας συνήθειαν, ἀλλὰ ψευδομένως μὴ παραδεδόσθαι ὑπὸ χριστοῦ ἐν τῷ εὐαγγελίῳ εἰμὴ δύο μόνον τότε βάπτισμα, καὶ τὴν εὐχαριστίαν, ὡς ἐστὶν ἰδεῖν ἐν τῷ δεκάτῳ πέμπτῳ αὐτοῦ κεφαλαίῳ, ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι, καὶ πιστεύοντι μὴ μεταβάλλεσθαι τὸν ἐπὶ τῆς προθέσεως ἄρτον, καὶ ἔτι τὸν οἶνον διὰ τῆς τοῦ ἱερέως εὐλογίας καὶ πνεύματος ἁγίου ἐπιφοιτήσεως εἰς ἀληθὲς σῶμα, καὶ αἷμα χριστοῦ. γέγραπται γὰρ ἐν τῷ δεκάτῳ ἑβδόμῳ τῶν αἱρετικῶν αὐτοῦ κεφαλαίων, τὸ σῶμα τοῦ κυρίου οὐκ ἔστιν, ὅπερ ἐν τῷ μυστηρίῳ τοῖς ὀφθαλμοῖς ὁρᾶται,

voces, Si volueritis & audieritis me; &, Accedite ad eum, & illuminamini; Qui vult venire post me; Venite ad me omnes; & similia; ad hæc & quotidianas ad bonum exhortationes: Anathema.

Cyrillo, dogmatizanti & credenti, non esse septem Sacramenta Ecclesiæ, id est, Baptisma, Chrisma, Pœnitentiam, Eucharistiam, Ordinem Sacerdotum, Extremam unctionem, & Matrimonium, juxta constitutionem Christi, Apostolorum traditionem, atque consuetudinem Ecclesiæ; sed mentienti, non esse tradita à Christo in Euangelio nisi solum Baptisma & Eucharistiam; ut videre est in XV ejus cap. Anathema.

Cyrillo, dogmatizanti & credenti, non transmutari panem propositionis, & insuper vinum per Sacerdotis benedictionem & Spiritus Sancti adventum, in verum Corpus & Sanguinem Christi; scriptum est enim in XVII hæreticorum ejus capitum; Corpus Christi non est quod, in sacris, oculis cernitur,

ται, καὶ λαμβάνεται, ὡς παραβάτη τῶν σαφῶν τοῦ πνεύματος λογίων, καὶ ἐθελοκάκως τοῦ θεανθρώπου διδασκάλου μὴ ἀκούοντι, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίνητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχητε ζωὴν ἐν ἑαυτοῖς. Καὶ ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Καὶ λάβετε, φάγετε, τοῦτο ἐστὶ τὸ σῶμα μου, καὶ πίετε ἐξ αὐτοῦ πάντες τοῦτο ἐστὶ τὸ αἷμα μου. Καὶ τοῦ μέχρι τρίτου οὐρανοῦ ἁρπαγέντος παύλου. ἔλαβεν ἄρτον, λέγοντος, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε. λάβετε, φάγετε τοῦτο μου ἐστὶ τὸ σῶμα. καὶ ἔτι τῶν πνευματοφόρων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν νικαίᾳ ἐκκλησιαστικῶν διατυπώσεων θεσπιζομένων αὐταῖσι λέξεσι. πίστει νοήσωμεν κεῖσθαι ἐπὶ τῆς ἱερᾶς ἐκείνης τραπέζης τὸν ἀμνὸν τοῦ θεοῦ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀθύτως ὑπὸ ἱερέων θυόμενον. καὶ τὸ τίμιον αὐτοῦ σῶμα, καὶ αἷμα ἀληθῶς λαμβάνειν. καὶ πρὸς τούτοις παραβλέποντι τὴν σύμ-

φωνον

tur, & accipitur; ut transgressori certissimorum Spiritus oraculorum, & ex spontanea malitia Deum hominem præceptorem non audienti, Nisi manducaveritis carnem filii hominis, & biberitis ejus sanguinem, non habebitis vitam in vobis; &, Qui manducat meam carnem & bibit meum sanguinem, in me manet & ego in eo; &, Accipite, manducate, hoc est corpus meum, & bibite ex hoc omnes, hic est sanguis meus; & Paulum, usque in tertium cœlum raptum, dicentem, Accepit panem, & gratias agens fregit, & dixit, Accipite & manducate, hoc est corpus meum; & insuper Ecclesiasticas trecentorum decem & octo à Deo & Spiritu Sancto afflatorum in Nicæa Patrum diatyposes, præcipientes his verbis, Fide præcipiamus seu intelligamus, esse super illam sacram mensam Agnum Dei tollentem mundi peccatum, sine mactatione à Sacerdotibus sacrificatum, & honorandum ejus sanguinem verè sumere: & ad hæc contemnenti con-

φωνον θεσμοθεσίαν τοῦ πνεύματος τὴν ὑπὸ τῆς ἁγίας μεγάλης ἑβδόμης συνόδου γεγενημένην, ὡς ἐστιν ἰδεῖν ἐν τῇ ἕκτῃ πράξει τόμῳ τρίτῳ ἀριδήλως λέγουσαν. μετὰ τὸν ἁγιασμὸν σῶμα κυρίως καὶ αἷμα Χριστοῦ λέγονται, εἰσὶ, καὶ πιστεύονται. ἀνάθεμα.

Κυρίλλῳ δογματίζοντι καὶ πιστεύοντι κεκαλυμμένως πως ἐν τῷ δεκάτῳ ὀγδόῳ αὐτοῦ κεφαλαίῳ, μὴ μετὰ τοῖς εὐσεβεῖ ἐν λήξει καὶ μετανοίᾳ κεκοιμημένοις ὠφελεῖν τὰς παρὰ τῶν οἰκείων γινομένας ἐλεημοσύνας, καὶ τὰς τῆς ἐκκλησίας ὑπὲρ τούτων δεήσεις, ὡς δῆθεν τῶν μὲν δικαίων ἀπολαυόντων τὴν τελείαν ἀπόλαυσιν, τῶν δὲ ἁμαρτωλῶν παντελῆ κατάκρισιν. καὶ ἔτι τὴν κοινὴν μέλλουσαν ἐν τῇ ἐσχάτῃ φοβερᾷ ἡμέρᾳ κρίσιν, καὶ ἀνταπόδοσιν ἀναιροῦντι, ὅπερ ξένον τῶν τε θεοπνεύστων γραφῶν, καὶ τῆς πάνυ συμφώνου τῶν θεολόγων διδασκαλίας, ἀνάθεμα.

Κυρίλλῳ τῷ κακίστῳ νέῳ εἰκονομάχῳ, ἀνάθεμα.

Κυρίλλῳ τῷ τὴν τῶν σεπτῶν εἰκόνων τιμὴν, καὶ σχετικὴν προσκύνησιν ἀθετοῦντι, καὶ βουλομένῳ καθελεῖν αὐτὴν, μὴ δυνα-

concordem ſpiritus legem, à magna ſancta ſeptima Synodo latam, ut eſt videre in VI act. tom. III, manifeſtè ſatis dicentem, Poſt ſanctificationem corpus proprie, & ſanguis Chriſti, dicuntur, & ſunt: Anathema.

Cyrillo, dogmatizanti & credenti, occultè quodammodo in XVIII ejus cap. poſt mortem iis, qui in fine pio, & in pœnitentia dormierunt, non prodeſſe eleemoſynas, quæ à familiaribus fiunt, & Eccleſiæ preces pro ipſis; ut nempe juſtis quidem perfectam fruitionem, peccatoribus verò completam damnationem conſecutis, & etiam communem futurum in extrema horrenda die judicium & retributionem deſtruenti; quod alienum à Scripturis à Deo afflatis, atque à nimis concordi Theologorum doctrina: Anathema.

Cyrillo, ſceleſtiſſimo novo iconomacho, Anathema.

Cyrillo, venerandarum imaginum cultum & relativam adorationem reſpuenti, & volenti evertere ipſam, licet

F non

δυναμένῳ εἶναι, ὡς ἐν τῇ τετάρτῃ αὐτοῦ ἀποκρίσει ὁμολογεῖ, ἀνάθεμα.

Κυρίλλῳ τῷ ἐν τῇ τετάρτῃ ἐρωτήσει ματαιολογίας καλοῦντι τὰ περὶ τῶν ἁγίων εἰκόνων τεθεσπισμένα ὑπὸ τῶν ἁγίων συνόδων, καὶ κατὰ τοῦτο καταφρονοῦντι τῆς ἱερᾶς, ἁγίας τε, καὶ θεοπνεύστου ἑβδόμης συνόδου τῆς ἐν νικαίᾳ, συναθροισθείσης τὸ δεύτερον, ἀνάθεμα.

Τοῖς ἀναγινώσκουσι τὰ ψευδηγόρως γεγραφέντα κεφάλαια ἐπ' ὀνόματι τῆς ἀνατολικῆς ἐκκλησίας κυρίλλου λουκάρεως, ὡς δή τι καὶ ὀρθὸν περιέχοντα, καὶ ἐξ αὐτῶν τὸ ἐγκεκρυμμένον αὐτοῖς ἰὸν ἐπιῤῥυομένοις. εἰ γὰρ καί τι ἐν τούτοις ἐπιπολαίως ἔοικεν εὐσεβὲς, ἔνδοθεν ἀπροόπτως ἀναφύεται αἵρεσις, ἀνάθεμα.

Τοῖς ἀπιστοῦσι τῇ τῆς ἐκκλησίας κατ' αὐτοῦ τοῦ κυρίλλου νομίμῳ τε, καὶ ἐνθέσμῳ ἀποφάσει, καὶ λέγουσιν, ἢ καὶ φρονοῦσιν αὐτὸν εὐσεβῆ, τὴν δὲ τῆς ἐκκλησίας ταύτην σύνοδον ψεύδεσθαι κατ' αὐτοῦ, ἀνάθεμα.

ἐν

non potuerit, ut in IV ſua reſponſione confitetur; Anathema.

Cyrillo, in IV interrogatione vaniloquentias vocanti ea, quæ à ſanctis Synodis de ſacris imaginibus præſcripta ſunt; & juxta hoc contemnenti ſacroſanctam & à Deo inſpiratam ſeptimam Synodum, Nicææ ſecundò congregatam; Anathema.

Legentibus capita, falsò & mendaciter ſcripta, ſub nomine Orientalis Eccleſiæ, Cyrilli Lucaris, ut quid rectum continentia, atque ex ipſis occultum & latens in eis venenum haurientibus; licet enim in his ſuperficie tenus videtur aliquid pium, ab intus tamen improviſo ſuboritur hæreſis; Anathema.

Non credentibus Eccleſiæ contra Cyrillum legitimæ & ſecundum præſcripta factæ declarationi & decreto; & dicentibus, vel etiam ſentientibus, illum eſſe pium; hanc autem Synodum contra ipſum congregatam mentiri; Anathema.

ἐν ἔτει σωτηρίῳ ᾳχλη' μηνὶ σεπτεμβρίῳ Ν. ζ'.

Κύριλλος ὁ ἐκ βεῤῥοίας ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος κωνσταντινουπόλεως, νέας ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

Τὴν κατὰ Κυρίλλου τοῦ λουκάρεως συναθροισθεῖσαν σύνοδον ἐπικυρῶ, τῷ ἀναθέματι καθυποβάλλω τά τε συγγραφέντα αὐτῷ κεφάλαια, καὶ τὸν συγγράψαντα κύριλλον, καὶ τὸν πιστεύοντα ταῦτα ὀρθόδοξα εἶναι.

Μητροφάνης ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως ἀλεξανδρείας.

Θεοφάνης ἐλέῳ θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως ἱερουσαλήμ.

ὁ ἀδριανουπόλεως παρθένιος.
ὁ λαρίσσης γρηγόριος.
ὁ σεῤῥῶν δανιήλ.
ὁ ἰωαννίνων παρθένιος.
ὁ ἡρακλείας ἱερεμίας.
ὁ βεῤῥοίας ἰωαννίκιος.
ὁ διδυμοτείχου δανιήλ.
ὁ προικοννήσου γρηγόριος.

ὁ ἰκο-

Anno ſalutis M DC XXXIIX, menſe Septembri, Indictione VII.

Cyrillus ex Berrhœa, miſeratione divina Archiepiſcopus Conſtantinopolis, novæ Romæ, & œcumenicus Patriarcha, Synodum contra Cyrillum Lucarim congregatam confirmans, anathemati ſubjicio capita ab ipſo conſcripta, & Cyrillum qui ea conſcripſit, nec non eum, qui credit, illa eſſe orthodoxa.

Metrophanes, miſeratione divina Patriarcha magnæ civitatis Alexandriæ.

Theophanes, miſeratione divina Patriaacha ſanctæ civitatis Hieruſalem.

Adrianopolis Parthenius.
Lariſſæ Gregorius.
Serrarum Daniel.
Ioanninorum Parthenius.
Heracleæ Ieremias.
Berrhœæ Ioannicius.
Didymotichi Daniel.
Præconeſi Gregorius.

ὁ ἰκονίου παρθένιος.
ὁ ἡρακλείας ἰωαννίκιος.
ὁ ἀθηνῶν δανιήλ.
ὁ παροναξίας βενιαμίν.
ὁ φαναρίου θεοφάνης.
ὁ σηλιμβρίας σωφρόνιος.
ὁ κῶου ἰωακείμ.
ὁ πολιανῆς πορφύριος.
ὁ σάμου ἄνθιμος.
ὁ ταλαντίου δωρόθεος.
ὁ χαλκηδόνος διονύσιος.
ὁ κορίνθου ἰωάσαφ.
ὁ δύστρης ἀντώνιος.

Μελέτιος συρίγος ἱερομόναχος καὶ διδάσκαλος τῆς μεγάλης ἐκκλησίας.

Νικόλαος ἱερεὺς κλαρουτζάνης διδάσκαλος, καὶ θεολόγος τῆς μεγάλης ἐκκλησίας.

Γαβριὴλ ἱερομόναχος ὁ βλάσιος καὶ διδάσκαλος τῆς μεγάλης ἐκκλησίας.

Μιχαὴλ ἱερεὺς ὁ βεστέρχης καὶ διδάσκαλος τῆς μεγάλης ἐκκλησίας.

ὁ μέγας οἰκονόμος τῆς μεγάλης ἐκκλησίας γεώργιος ἱερεύς.

ὁ μέγας σακελλάριος τῆς μεγάλης ἐκκλησίας.

ὁ μέγας

Iconii Parthenius.
Heracleæ Ioannicius.
Athenarum Daniel.
Paranaxiæ Benjamin.
Phanarii Theophanes.
Sylimbriæ Sophronius.
Co Ioachim.
Polyanæ Porphyrius.
Sami Antimus.
Talantii Dorotheus.
Chalcedonis Dionyſius.
Corinthi Ioſaphat.
Dryſtæ Antonius.

Meletius Syrigus, Sacerdos Monachus, & magiſter magnæ Eccleſiæ.

Nicolaus Sacerdos, Claronzanes, Sacerdos & magiſter & Theologus magnæ Eccleſiæ.

Gabriel Sacerdos Monachus Blaſius, magiſter magnæ Eccleſiæ.

Michaël Sacerdos Veſtarcha, & magiſter magnæ Eccleſiæ.

Magnus œconomus magnæ Eccleſiæ Georgius Sacerdos.

Magnus ſacellarius magnæ Eccleſiæ.

ὁ μέγας πρωτοσύγκελλος τῆς μεγάλης ἐκκλησίας γαβριήλ.

ὁ μέγας χαρτοφύλαξ τῆς μεγάλης ἐκκλησίας μανουὴλ ἱερεύς.

ὁ μέγας ῥήτωρ τῆς μεγάλης ἐκκλησίας μιχαήλ.

ὁ σακελλίου τῆς μεγάλης ἐκκλησίας ἱερεὺς θεολόγος.

ὁ μέγας πρωτέκδικος τῆς μεγάλης ἐκκλησίας σοφιανός.

ὁ μέγας πριμμικήριος τῆς μεγάλης ἐκκλησίας μαυρούδης.

ὁ μέγας πρωτοπαπᾶς τῆς μεγάλης ἐκκλησίας εὐστάθιος ἱερεύς.

ὁ πρωτονοτάριος τῆς μεγάλης ἐκκλησίας.

ὁ νομοφύλαξ τῆς μεγάλης ἐκκλησίας παρασκευᾶς ἱερεύς.

ὁ πρωτονοτάριος τῆς μεγάλης ἐκκλησίας φίλιππος.

ὁ ἀρχιδιάκονος τῆς μεγάλης ἐκκλησίας ἰγνάτιος.

ὁ ὑπομνηματογράφος τῆς μεγάλης ἐκκλησίας κωνσταντῖνος.

ὁ λογοθέτης τῶν οἰκιακῶν σκουλῆς.

ὁ λογο-

Magnus Protoſyncellus magnæ Eccleſiæ Gabriel.

Magnus Cartophylax magnæ Eccleſiæ Emanuel Sacerdos.

Magnus Rhetor magnæ Eccleſiæ Michaël.

Sacelli magnæ Eccleſiæ Sacerdos Theologus.

Magnus Primus defenſor magnæ Eccleſiæ Sophianus.

Magnus Primicerius magnæ Eccleſiæ Maurudes.

Magnus Protoëpiſcopus magnæ Eccleſiæ.

Euſtathius Sacerdos, Protonotarius magnæ Eccleſiæ.

Nomophylax magnæ Eccleſiæ Paraſceuas Sacerdos.

Primus Protonotarius magnæ Eccleſiæ Philippus.

Archidiaconus magnæ Eccleſiæ Ignatius.

Commentariorum ſcriptor magnæ Eccleſiæ Conſtantinus.

Logotheta domeſticorum, Scules.

ὁ λογοθέτης τῆς μεγάλης ἐκκλησίας μιχαήλ.

ὁ ῥήτωρ τῆς μεγάλης ἐκκλησίας μιχαήλ.

ὁ πριμμικήριος τῶν νοταρίων ῥάλης.

ὁ νοτάριος τῆς μεγάλης ἐκκλησίας κωνσταντῖνος.



Logotheta generalis magnæ Ecclesiæ Michaël.

Rhetor magnæ Ecclesiæ Michaël.

Primicerius Notariorum Rales.

Notarius Magnæ Ecclesiæ Constantinus.



PARTHENI PATRIARCHÆ Conſtantinopolitani

DECRETVM SYNODALE ſuper Calvinianis dogmatibus,

Quæ in Epiſtola Cyrilli nomine ante annos aliquot edita, falsò Græcorum & Orientalium conſenſu recepta ferebantur.

Quæ omnia damnantur ab iiſdem, & anathemate notantur.

Nunc primùm ex Oriente allatum, unà cum Arſenii Hieromonachi Epiſtola Venetias miſſa, quæ Præfationis loco præfixa eſt.

T

S

ad m
vinij
clesia
rent.
quod
gri: at
velim
irrep
Græ
difer
liter
lum
dedi
Syno
sunt
accipe

TYPOGRAPHUS LECTORI S.

SYNODICAS *Parthenii Græcorum Patriarchæ litteras ſimul accipio, ſimul tibi,* Lector candide, *communico. Miſſæ ſunt ad me Venetiis, ut excuſæ typis ac publicatæ, Calviniſtarum noſtrorum, qui ementitâ Orientalis Eccleſiæ auctoritate gloriantur, ora tandem obſtruerent. Excuſum in Moldavia earum exemplar, quod meis in manibus eſt, tantâ fide atque integritate ſequor, ut neque ab illius mendis abſtinere velim, quæ omnino non conſtet Typographi incuriâ irrepſiſſe; neque primum caput expungam, quod Græcanicam de Spiritus ſancti proceſſione hæreſim diſertè continet. Adjungo & Arſenii Monachi literas, Græci hominis, quod hac ætate miraculum eſt, eruditiſſimi. Eas ille veterem ad amicum dedit Venetiis degentem, ad quem & Parthenii Synodicas mittebat. Ab hoc utræque ad nos miſſæ ſunt; à nobis utraſque, latinitate etiam donatas, accipe, Lector, & bene vale.*

ΤΩι ΕΥΣΕΒΕΣΤΑΤΩι
ΚΑΙ ΠΡΟΣΦΙΛΕΣΤΑΤΩι
Γ. Φ.

Ἀρσένιος ὁ ἱερομόναχος χαίρειν.

Τὸ μὲν ψεῦδος ἅπαν σαθρὸν, καὶ οὐκ ἐπὶ πολὺ διαγινόμενον. κἄν ποτε πρὸς ὀλίγον πίστιν ἔχειν δοκῇ· ἀλλ' αὐτίκα δὴ μάλα διελεγχθὲν ἀπερρύηκε, καὶ τὸ τελευταῖον εἰς χλεύην καὶ γέλωτα περιέστη. τὸ δὲ ἀληθὲς εἰ καὶ κατὰ πολὺ ἡττᾶσθαι ἐξ ἀρχῆς ἔδοξεν, ὑπὸ τοῦ ἐναντίου παραδοκιμούμενον, μετ' ὀλίγον ἐκράτησε, καὶ λαμπρὰν ἤρατο κατ' αὐτοῦ τὴν νίκην. Τοιοῦτον ἄρα τι παρ' ἡμῖν γινόμενον ἔναγχος ἰδὼν, ἀνακοινοῦσθαί σοι πάντως, ὦ φιλότης, ᾠήθην δεῖν, ὅπως ὧν πυθομένου σου πρῴην ἀντεπέστελλον, τὴν

RELIGIOSISSIMO AMICISSIMOQVE G. F.

ARSENIVS HIEROMONACHVS S.

CADVCVM eſt mendacium omne, neque durabile perdiu; ac ſi quando fidem obtinere videtur aliquantiſper, mox certè convictum deprehenſumque dilabitur, & in riſus tandem ac ludibria convertitur. Contrà autem veritas, quamvis inferior multò videatur ipſis initiis, mendacii præſtigiis obſcurata; fit brevi ſuperior, victoriamque de illo reportat ſplendidam, & illuſtrem. Simile quiddam apud nos recens contigiſſe quum vidiſſem, communicandum id omnino tecum, Amice, judicavi; ut & eorum, quæ ſciſcitanti tibi reſcribebam nuper,

τὴν ἀλήθειαν μάθοις ἔργῳ βεβαιουμένην, καὶ τὸ ἀνέδην καὶ ἀβασανίστως ὅ,τιοῦν λεγόντων ἐλέγχειν εὐήθειαν ἔχοις, καὶ περιπέτειαν. Μέμνησαι γὰρ οἷα δὴ πρὸς ἐμὲ γέγραφας περὶ τοῦ τῇδε νεωτερισμοῦ τοῦ κατὰ τὴν θρησκείαν, καὶ ὡς πολλὰ τῆς παρ' ἡμῖν ἐκκλησίας κατέδραμες τῷ λόγῳ, ὡς ἀφελῶς, καὶ ἀσκέπτως ἐν ἀκαρεῖ τῷ χρόνῳ εἰς καινήν τινα μετεσκευάσθη, καὶ ἀλλόκοτον αἵρεσιν, τὴν μόνοις τέως τοῖς δυτικοῖς ἐγνωσμένην, τοῖς δὲ Ἕλλησι παντελῶς ἀγνοουμένην, ὅτι μὴ ὀλίγοις τισὶ τοῖς ἐν τῇ Ἰταλίᾳ, ἢ ἑτέρωθί που τραφεῖσι, καὶ παιδευθεῖσι τὰ τῶν Λατίνων. τοῦτο δὲ οὐκ ἐξ ἀκοῆς μόνον εἰδέναι, καὶ φήμης ἔφασκες, τῆς πανταχοῦ διαθρυλλούσης ὡς Κύριλλός τις ὁ τῆς Κωνσταντινουπόλεως Πατριάρχης τοῖς τοῦ Καλβίνου συνέθετο δόγμασι, καὶ τὴν ἐκεῖθεν ἐδέξατο τῆς πίστεως ἔκθεσιν· ἀλλὰ καὶ τῷ ἐκείνου ἐντυχεῖν γράμματι, αὐτὸ τοῦτο διαῤῥήδην καὶ ἐγγράφως ὁμολογοῦντι. οὐκοῦν θαυμάζειν ἔφησθα, καὶ ἐν ἀφασίᾳ πολλῇ καθεστηκέναι, ὅπως δὴ ἐν οὕτω βραχείᾳ

τοῦ

veritatem intelligas re factiſque confirmatam; & eorum hominum, qui licenter ac temerè quidvis effutiunt, vel ſtoliditatem poſſis, vel petulantiam coarguere. Meminiſti enim quæ ad me ſcripſeris de novarum hîc rerum circa religionem molitione, quamque multis in Eccleſiam noſtram invectus ſis, quaſi ſtultè illa & inconſideratè mutata repente eſſet in novam quandam & portentoſam hæreſim, unis hactenus Occidentalibus notam, Græcis verò incognitam prorſus, niſi fortè pauciſſimis quibuſdam, in Italia, aut alibi uſpiam educatis, & Latino ritu inſtitutis. Hoc verò te percepiſſe ajebas non auditione tantùm ac famâ, quæ ubique ſpargebat Cyrillum quendam Conſtantinopolitanum Patriarcham adhæſiſſe Calvini dogmatis, quamque illa præſcribunt expoſitionem fidei ſuſcepiſſe: verùm & incidiſſe in literas illius, quæ diſertè hoc ipſum profiterentur. Quamobrem mirari te ajebas, & obſtupeſcere plurimùm, quâ ratione tam brevi

τοῦ χρόνου ῥοπῇ, καὶ ὀστράκου, ὡς ἄν τις εἴποι, μεταπεσόντος, ἡ ἡμῶν ἐκκλησία ὀψὲ δήποτε τἀναντία φρονεῖν ἤρξατο τῶν πρώτην ἐγνωσμένων, καὶ εἰς τοσαύτην φέρουσα ἑαυτὴν ἐνέβαλεν ἀτοπίαν μιαρῶν, καὶ ἀλογίστων δογμάτων. Πρὸς δὴ ταῦτα, καὶ τὰ τούτοις παραπλήσια, ἃ καθ' ἡμῶν ἐτραγῴδεις, ἁπάντων ἐγὼ διὰ παντὸς ἀντέλεγον, ὡς οὐ κοινῇ τοῦτο γνώμῃ διαπέπρακται τῆς Ἑλλάδος, μήτε μὴν εἰδότων τῶν πλείστων, ἀλλὰ πάμπαν ἀγνοούντων· εἷς δέ τις ἀνήρ ἐστιν, ὁ πᾶσαν ταύτην διαπλάσας τὴν σκηνὴν, ὁ Κύριλλος, μοχθηρὸς τὸν τρόπον, καὶ ταραχώδης, καὶ κέρδους ἥττων πάντα, καὶ τῆς προσκαίρου δόξης τιθέμενος. ὃς τὴν φιλαρχίαν πάλαι νοσῶν, καὶ τῷ τῆς βασιλευούσης τῶν πόλεων θρόνῳ ἐποφθαλμιάσας, πόθῳ τῆς ἐκεῖθεν λαμπρότητος, καὶ περιουσίας, δῆλος ἦν οὐκ ἠρεμήσων, ἀλλὰ σκοπὸν τόδε ποιούμενος, τὸ ὁπωσποτοῦν τοῦ προκειμένου τυχεῖν, καὶ ταύτης ἐν δίκῃ, ἢ παρὰ δίκην ἐπι-

momento temporis, & teſtæ, quod ajunt, converſione, ſerò tandem inciperet Eccleſia noſtra contraria iis ſentire, quæ priùs judicaverat, ſeſéque in tantam impurorum ac temerariorum dogmatum importunitatem, præcipitem ipſa mitteret. His autem omnibus, atque horum ſimilibus, quæ tragicè adverſum nos declamitabas, occurrebam ego, conſtantérque reſpondebam, non eſſe communi Græciæ conſenſu geſta, neque ſanè pleriſque conſciis, ſed penitus ignorantibus: unum autem neſcio quem fuiſſe omnis hujus fabulæ auctorem, Cyrillum, perditis moribus virum, ac turbulentum, quique omnia lucro & temporariæ gloriæ poſthaberet: qui quum dominandi cupiditate laboraret jampridem, & ad reginæ urbium thronum oculos adjiceret, præ deſiderio tum dignitatis, tum divitiarum, quas inde collecturus eſſet, palam omnibus erat non quieturum eum, verùm id agere, ut propoſitum quoquo modo aſſequeretur, & Principatum

ἐπιλαβέσθαι τῆς ἀρχῆς. τούτου γοῦν ἕνεκα τοῖς τὰ Καλβίνου φρονοῦσι προσεμβεὶς, καὶ τούτους ὑπελθὼν, πάντα πρὸς χάριν αὐτῶν ποιῶν καὶ λέγων οὐκ ἐπαύσατο, ὥστε καὶ ὁμογνωμονεῖν αὐτοῖς ἑλέσθαι, καὶ τῆς αἰσχίστης πασῶν αἱρέσεως τὴν πατρῴαν πίστιν καὶ σωτηρίαν ἀνταλλάξασθαι. Γίνεται γοῦν λαθραία τις πρὸς ἀλλήλους ἐκείνων ξυνθήκη, ἐφ᾽ ᾧ τοὺς μὲν Καλβινομανεῖς, ξένους καὶ ἐπήλυδας ὄντας, χρήματα καταθέσθαι τῷ Κυρίλλῳ, καὶ χορηγεῖν ὅσων ἐχρῆζε πρὸς τὸ λαβεῖν ὧν ἐφίετο· τὸν δὲ δὴ, καταστάντα ἐπὶ τῆς ἀρχιερωσύνης, αὖθις ἐπιτελῆ ποιεῖσθαι τὴν ὑπόσχεσιν. ἦν δὲ δὴ αὕτη· τὸν Καλβίνου λῆρον ἀπαντα, καὶ τὴν ἐπιχωριάζουσαν παρὰ τοῖς ἐωνημένοις κακοπιστίαν πρεσβεύειν τε αὐτὸν, καὶ ἀναφανδὸν ὁμολογεῖν, καὶ τὰς ἀνατολικὰς ἐκκλησίας ἢ πάσας, ἢ ὅτι πλείστας εἰς τὴν αὐτὴν κοινωνίαν ἐπισπάσασθαι. τοιούτου γινομένου συναλλάγματος, ὁ κακοδαίμων ἐκεῖνος αὐτίκα τοῦ ἔργου εἴχετο, καὶ ἀφ᾽ ἑστίας,

τὸ

hunc, jure vel injuriâ obtineret. His igitur de causis, quum adjunxisset sese Calvini sectatoribus, eorumque gratiam omni assentationis genere captaret, non cessavit dictis factisque per omnia iis obsequi; ut & sentire cum iis voluerit, & avitam fidem, salutémque adeo, cum hæresi omnium turpissima permutare. Fit igitur clandestina quædam inter eos pactio, ut Calvinistæ quidem, peregrini homines & advenæ pecuniam Cyrillo numerarent, suppeditarentque omnia, quibus, ad obtinendum id quod moliebatur, indigebat: hic verò postquam esset Pontifex constitutus, promissum vicissim suum exolveret. Erat autem illud hujusmodi: Cyrillum, Calvini deliramenta omnia, & pervagatam apud emptores illos hæresim tum sequuturum ipsum, ac palàm professurum, tum Orientales Ecclesias vel omnes, vel quamplurimas eandem in communionem attracturum. Hac factâ conventione, statim se infelix ille ad opus accinxit, & à Vesta,

τὸ δὴ λεγόμενον, ἀρξάμενος, ἐπὶ τὸν τηνικαῦτα προκαθεζόμενον τῆς Κωνσταντινου πόλεως, ὀρθόδοξον ὄντα, τρέπεται. κἀκεῖνον συσκευασάμενος, καὶ ἐπὶ ψευδέσιν ἁλόντα τοῖς ἐγκλήμασι, καὶ καθαιρεθέντα ἐκποδὼν ποιήσας, ἑαυτὸν ἀντ' ἐκείνου ποιεῖ ὑπ' ὀλίγων, καὶ μισθωτῶν αἱρεῖσθαι, πολλοῖς ἤδη χρήμασιν, ἐξ ὧν ἐφωδιασμένος εἶχε παρὰ τῶν αἱρετικῶν, προδιαφθείρας τοὺς τῷ βασιλεῖ παραδυναστεύοντας, καὶ κυρίους ὄντας σύνθημα δοῦναι τῆς τε τοῦ προτέρου ἐκβολῆς, καὶ τῆς ἀντ' ἐκείνου τοῦ δευτέρου καταστάσεως. οὕτως οὖν ἀρχιερατικῆς ἐπέβη τάξεως καὶ καθέδρας ὁ Κύριλλος, δῆλον ἐν ταύτῃ προξενήσας ἑαυτῷ τὸν ὄλεθρον καὶ κατάραν, ὅτι τε ἀργυρίου τὰ ἱερὰ καὶ τὸ πνεῦμα τὸ ἅγιον κατ' ἐκεῖνον τὸν μάγον ἐώνητο, καὶ ὅτι τοῦ αὐτοῦ τὴν ἰδίαν ψυχὴν ἀπημπόλησε. τὸ δὲ ἐντεῦθεν, ἤδη λῃστρικήν τινα συγκροτήσας σύνοδον ἐκ τῶν ὁμοίων ἑαυτῷ καὶ ἐπιλείπτων ἀνθρώπων, ὅπερ οὖν ἐπήγγελτο, τὴν δαιμονίαν ἐκείνην τῆς πίστεως ἔκθεσιν τοῖς Καλβίνου δόγμασι συνᾴ-

δουσαν

quod ajunt, incipiens, in eum, qui tunc Conſtantinopolitanam ſedem obtinebat, orthodoxum hominem, convertitur. illúmque inſidiis & fraudibus appetens, ubi falſis criminibus circumventum ac depoſitum amovit, ſeipſum illius in locum à perpaucis, iiſque mercenariis hominibus eligi curat, corruptis priùs grandi pecuniâ, quæ ſuppeditata ipſi ab hæreticis fuerat, aulæ Imperatoriæ proceribus, penes quos erat facultatem concedere, tum ejiciendi prioris, tum alterius illius in locum ſubrogandi. His igitur artibus Pontificiam dignitatem, atque ſedem obtinuit Cyrillus, duplicem hoc uno peſtem execrationemque ſuum in caput accerſens, quòd & ſacra Spiritúmque ſanctum, ut ille quondam magus, pecuniâ commutarit, & animam ſuam eodem pretio vendiderit. Deinde coactâ latrocinali Synodo, ex ſui ſimilibus & ſceleratis hominibus (quod erat pollicitus) inſanam illam fidei profeſſionem Calvini dogmatis conſentientem ratam
 haberi

δυσιν ἐκύρωσεν. ἣν λαβόντες, ὡς ἔφης, οἱ δυτικοὶ αἱρεσιῶται, καὶ ταύτῃ τῆς καθ' ἑλλάδα καὶ ἀνατολὴν ἐκκλησίας ἐπιγράψαντες ὄνομα, πανταχοῦ διέπεμψαν, μέγα δὴ φρονοῦντες ἐπὶ τούτῳ καὶ κομπάζοντες, ὅτι σύμψηφον ἐκέκτηντο κατὰ τὴν πίστιν καὶ ὁμόδοξον, τὸ γοῦν πλεῖστον μέρος τῆς ἐπιφημιζούσης ἑαυτῇ θεὸν οἰκουμένης (τοιαῦτα γὰρ δήπου αὐτοῖς ῥήμασιν ἐν τῇ πρὸς ἡμᾶς ἔγραψας ἐπιστολῇ) ὥστε ὅπερ πρότερον ἐδυσφόρουν, ἐν ὀνείδους τάξει, καὶ ἐλέγχῳ τῆς ψευδωνύμου σφῶν θρησκείας ἑκάστοτε προφερόμενον, ὡς δ' ἀριθμητοί τινές εἰσι, καὶ κοινὸν ἔχουσι μηδὲν πρὸς τοὺς ἁπανταχοῦ χριστιανοὺς, ἀλλ' ὅμως ὑπὸ πάντων ἐκκηρύττονται, τούτου γοῦν ἀπηλλάχθαι σφᾶς αὐτοὺς οἴεσθαι τοῦ ἐγκλήματος, τοσούτους ἔχοντας ἀριθμεῖν ὁμογνώμονας, καὶ κοινωνοῦντας τῆς πίστεως. τοῦτο μὲν οὖν, ὡς ἔλεγες, παραυτίκα δημοσιευθὲν, λύπην, καὶ ἔκπληξιν οὐ τὴν τυχοῦσαν ἐνεποίησε ταῖς κατὰ δύσιν ἐκκλησίαις. ὃ δὴ ἐγὼ πρὸς τοῦτο· εἶεν, ἔφην. ἀλλ' εἰκὸς μόνους τοῦτο παθεῖν τοὺς οὐκ εἰδότας ἀκριβῶς τὰ ἡμέτερα, τοὺς δὲ φρονιμωτέρους οὐκ ἂν λάθοι

ὅπερ

haberi instituit. Hanc autem arreptam, ut ajebas, inscriptamque Græcæ atque orientalis Ecclesiæ nomine ubique divulgarunt occidentales hæretici, hoc jactantes scilicet gloriantésque, quòd qui Deum agnoscit orbis, fidei suæ, maximam partem, suffragaretur: (Hæc enim scilicet verbis ipsis in tuis ad nos literis scripsisti) ut, quod ægrè priùs ferebant probri loco, & in argumentum falsæ ipsorum religionis ubilibet objici, nimirum paucos admodum eos esse, ac commune nihil cum Christianis cæteris habentes, sed ab omnibus æquè repudiatos, hac se criminatione solutos crederent, qui tot sibi consentientes fideique suæ participes numerare possent. Hæc porro, uti ajebas, continuò sparsa in vulgus dolorem attulere stuporemque non mediocrem occidentalibus Ecclesiis. Ad hæc autem ego: Esto, inquiebam; sed verosimile est sanè iis tantùm id contigisse, qui res nostras probè non nossent; prudentiores autem fugere non potest

quod

ὅπερ ἐστὶν ψεῦδος ἄντικρυς καὶ δρᾶμα βδελυρῶν καὶ ἀργυρωνήτων ἀνθρώπων, ἐφ᾽ ὁ,τιοῦν πεπρακότων ἑαυτοὺς, καὶ οὐ πιθανῶς, οὔτ᾽ ἀστείως ἄγαν ὑποκρινομένων· οὕτως οὖν ἐν δίκῃ μοι δοκῶ τοιούτοις πρός σε χρήσασθαι τοῖς δικαιώμασι. πῶς γὰρ ἂν ἦν ἄλλως περὶ τούτων σκοπεῖν λογιζομένους ὡς οὐκ εἰκὸς τοσαύτην ἐν οὕτω βραχεῖ τῷ χρόνῳ γενέσθαι μεταβολὴν τῶν κατ᾽ ἀνατολὴν ἐκκλησιῶν; καὶ πῶς ἂν ἑαυτὸν πείσαι τις Ἕλληνας ἅπαντας οὕτω τετυφῶσθαι, καὶ ἐκστῆναι τῶν φρενῶν, ὡς ἀρχαίοις καὶ πατρίοις δόγμασι χαίρειν φράσαντες καίν᾽ ἄττα καὶ ἀπεμφαίνοντα εἰσάγειν; ὧν οὐκ ἔστιν ὃς οὐκ ἂν πολλὴν καταγνοίη τὴν ἀγνωμοσύνην καὶ σκαιότητα, ὁπωστιοῦν τῷ λόγῳ χρήσασθαι καὶ φρεσὶν εἰδώς. Ὡς δὲ ἀληθῆ ταῦτα ἔλεγον, εἰδέναι σαφῶς ἔξεστιν ἐκ τῶν ἤδη προγεγενημένων πρὸ ἐτῶν που οὐ πάνυ πολλῶν, ἡνίκα τὴν καθ᾽ ἡμᾶς ἐκκλησίαν διεῖπεν ὁ Ἱερεμίας. οὗτος γοῦν

ὑπὸ

quod res est, manifestum scilicet mendacium, & fabula execrandorum ac pecunia redemptorum hominum, qui seipsos quodcumque ad opus venundedissent, ac personam suam neque probabiliter neque scitè admodum agerent. Hæc igitur jure mihi videor apud te defensionis causâ protulisse. Quid enim existimare de his aliud possit, quisquis reputat secum, quàm parum sit verosimile tam brevi spatio temporis, tantam orientalium Ecclesiarum mutationem esse factam? Aut quomodo inducere animum ullus queat, ita occæcatos esse Græcos omnes, ac mente perditos, ut valere jussis antiquis ac patriis dogmatis nova quædam & absurda illorum in locum inducerent, quæ nemo est, quantulum is ratione ac mente valeat, qui maligna supra modum & inepta non existimet? Cæterùm verè hæc tum à me esse dicta, manifestò liquet ex iis, quæ annis abhinc non multis, administrante Ecclesiam nostram Hieremiâ, gesta sunt. Etenim

ὑπὸ τῶν ἐν Γερμανίᾳ Λουτηριζόντων προ-
κληθεὶς εἰς ὁμόνοιαν καὶ κοινωνίαν τοῦ δόγ-
ματος, καὶ πῇ μὲν ὑπισχνουμένων ἄπαν-
τα, πῇ δὲ ἀπειλούντων αὐτῶν, κατὰ κρά-
τος ἐγκειμένων, ὅμως οὐκ ἐκάμφθη,
ἀλλὰ πρὸς τὰς ἐκείνων προσβολὰς γενναίως
ἀντέστη, καὶ ἀνδρικῶς. Καὶ δὴ καὶ ὅπως
αὐτός τε φρονοίη, καὶ αἱ ὑφ' αὐτὸν ἐκκλη-
σίαι, ἐγγράφως ἐμαρτύρησε διὰ πλειόνων
ἐκθέμενος. Ποίαν οὖν λείποι τοῦτο ὑπερ-
βολὴν ἀνοίας, τὸ ἡγεῖσθαι ἑνὸς ἀνδρὸς νεύ-
ματι, οὐδ' αὐτοῦ μάλα πρὸς χάριν ὄντος
ἡμῖν, οὔτε λίαν πιστευομένου, τοσοῦτον ἄφνω
παρ' Ἕλλησι κίνημα γενέσθαι, καὶ τῆς ἀρχῆ-
θεν εὐσεβείας ἀνατροπήν; Πλὴν ἵνα μὴ σύ
τε καὶ ἕτερός τις ὑμῶν τῇ φήμῃ πεισθέντες,
καὶ τοῖς Κυρίλλου γράμμασιν, εἰκῆ ταῦτα
προφασίζεσθαι, καὶ εὑρεσιλογεῖν ἐμὲ
φαίητε, ἰδοὺ πάρεστιν ἐκ τῶν ἄρτι παρ' ἡμῖν
γινομένων τεκμήριον λαβεῖν, ὅτι ἡ ἀπόστασις
ἐκείνη, ἡ κατὰ τὸν Κύριλλον, οὐ κοινῇ ψήφῳ καὶ
βουλῇ τῶν ἐκκλησιῶν καὶ ἀρχιερέων γέγονεν,
ἀλλ' ὑπ' ὀλίγων τινῶν, ὡς ἔφην, ἐτολμήθη
πονη-

is à Lutheranis Germaniæ ad concordiam communionémque dogmatum invitatus partim multa pollicentibus iis, partim comminantibus, & violenter instantibus, flecti non potuit tamen, atque omnibus eorum impetibus generosè, fortitérque repugnavit. Et certè, quid tum ipse, tum subjectæ sibi Ecclesiæ sentirent, expositione bene longâ disertè contestatus est. Quantæ igitur esset amentiæ arbitrari unius hominis nutu, atque illius quidem neque gratia plurimùm apud nos, neque auctoritate pollentis tantos repentè motus in Græcia excitatos esse, & avitam religionem funditùs pessundatam? Veruntamen ne tu fortassis, aut vestrum aliquis, famâ Cyrillíque litteris persuasi temerè hæc à me prætexi, & inaniter jactari putetis: en ex iis, quæ recens apud nos gesta sunt, fas est colligere, illam Cyrilli defectionem non communi suffragio Ecclesiarum, Episcoporumq; factam esse, sed à paucis quibusdam, uti dixi, præfidenter susceptam,
nefariis

πονηρῶν καὶ χυδαίων ἀνθρώπων, πάντα κέρδους καὶ ἡδονῆς ὕστερα τιθεμένων, καὶ εἰς τὸ τυχὸν ἀδεῶς κιχράντων τὸ ἑαυτῶν ὄνομα, καὶ χεῖρα. Ἀμέλει κατὰ θεοῦ πρόνοιαν ὁ Πατριάρχης ἡμῶν Παρθένιος σύνοδον ἐνταῦθα γνησίαν καὶ νόμιμον ἤθροισε Μητροπολιτῶν, καὶ Ἐπισκόπων, καὶ τῶν λοιπῶν ἱερατικῶν, καὶ μοναχῶν οὐκ ὀλίγων, ἐν ᾗ τῆς Καλβίνου αἱρέσεως, καὶ πάντων τούτου δογματικῶν κεφαλαίων, τῶν ὑπὸ Κυρίλλου ἐκτεθέντων ὡς ἐπ' ὀνόματι τῆς τῶν Γραικῶν ἐκκλησίας, κατεψηφίσαντο, καὶ αἰωνίῳ καθυπέβαλον ἀναθέματι καὶ καταδίκῃ. πρὸς δὲ, καὶ τοὺς τὰ τοιαῦτα λέγοντας καὶ κηρύττοντας, τῆς καθολικῆς ἐκκλησίας, καὶ πάσης ὀρθοδόξων κοινωνίας ἀπέκοψαν. Ἅπερ ἐν τῇ συνοδικῇ αὐτῶν ἐπιστολῇ περιλαμβάνοντες, ἵνα καὶ πανταχοῦ διαδοθῇ, διὰ τύπων καὶ χαλκογράφων ἐξέδωκαν. ταύτην ἐγὼ τὴν ἐπιστολὴν ἀμφοτέρων ἕνεκα, σοὶ πέμπειν ἠξίωσα, ὅπως τε αὐτὸς εἰδείης σάφα τἀληθὲς, καὶ δὴ καὶ ἄλλοι διὰ τῆς σῆς εὐσεβείας ἐκμαν-

nefariis & ſordidiſſimis hominibus, lucro & voluptate poſteriora ducentibus omnia, & quamcunque ad rem nomina manúſque ſuas impunè commodantibus. Scilicet magnâ Dei providentiâ factum eſt, ut Patriarcha noſter Parthenius Synodum hic legitimam coëgerit, Metropolitarum, Epiſcoporum, reliquorumque ſacri Ordinis hominum, ac Monachorum complurium; in qua Calvini hæreſim, & omnia illius dogmatica Capitula, quæ Cyrillus, quaſi Græcæ Eccleſiæ nomine profeſſus erat, confirmaveratque, damnarunt, & æterno anathemati, condemnationíque ſubjecerunt. Præterea verò, & eos, qui talia dicerent, prædicaréntque, à Catholica Eccleſia, & omni orthodoxorum communione ſummoverunt. Quæ quidem ſynodicis ſuis literis mandata, ut ubique pervulgarentur, typis etiam edidere. Has ego literas duabus potiſſimùm de cauſis ad te mittendas cenſui, ut & veritatem liquidò ipſe noris, & eandem alii per te

ἐκμανθάνοιεν. τοιγαροῦν δέομαί σου, ἐπειδὰν αὐτὴν κομίσῃ ἐκδοῦναι καὶ αὐτὸν, ἐάν πως συνοίσειν δοκῇ, καὶ πᾶσι τοῖς κύκλῳ ὑμῶν οἰκοῦσιν ἔκδηλον ποιῆσαι, ἵνα οἵτε ὀρθῶς περὶ τῶν τοιούτων φρονοῦντες παύσωνται περὶ ἡμῶν ἀνάξια πιστεύοντες καὶ λέγοντες, καὶ οἱ Καλβινόφρονες οὐκ ἔτι γελῶσι καὶ κομπάζωσι κενὰ, ὁρῶντες τὴν ἑαυτῶν συστολὴν καὶ τερθρείαν διὰ τούτων καταφανῆ γινομένην. Ἔρρωσο.

Εν τῇ Κωνσταντίνου πόλει. ἔτει τῆς σωτηρίας ,αχμγ΄. ἐν μηνὶ Ιανουαρίῳ. ς΄.



ΠΑΡ-

intelligant. Quamobrem à te contendo, ut, ſi ad rem fore viſum fuerit, eaſdem & ipſe cum omnibus, qui veſtro in orbe degunt, communices; ut & qui rectè de his ſentiunt, iniqua de nobis exiſtimare, & loqui deſinant; & Calviniſtæ, quum inſidias ſuas præſtigiaſque palàm factas viderint, finem tandem exultandi faciant, & ineptè gloriandi. Vale.

Conſtantinopoli anno ſalutis 1643 Ianu, 6.



ΠΑΡΘΕΝΙΟΣ

ἐλέῳ θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ οἰκουμενικὸς Πατριάρχης.

ΤΗΣ ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῶν ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν, καὶ συλλειτουργῶν, καὶ τῶν τιμιωτάτων κληρικῶν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, προηνέχθησαν εἰς μέσον κεφάλαιά τινα, ἐπιγραφὴν ἔχοντα τοῦ πρὸ ἡμῶν Πατριάρχου γέροντος κῦρ Κυρίλλου. περὶ ὧν ἐζητήθη, εἰ χρὴ ταῦτα ὡς εὐσεβῆ λογίζεσθαι καὶ κατέχειν, ἢ ὡς τῆς ἡμετέρας ἀνατολικῆς, καὶ ἀποστολικῆς τοῦ Χριστοῦ ἐκκλησίας ἀλλότρια ἀποκηρύττεσθαι. διὸ πᾶσα ἡ ἱερὰ σύνοδος αὕτη, ἕκαστον αὐτῶν ἐπιμελῶς ὑπεξελθόντες, καὶ τὸν νοῦν τῶν γεγραμμένων ἀνακρίναντες, εὗρον αὐτὰ πάντα

(τοῦ

PARTHENIVS

misericordiâ Dei Archiepiscopus Constantinopoleos novæ Romæ, & Oecumenicus Patriarcha.

PRÆSIDENTE synodicè mediocritate nostrâ, assidentibus ipsi sanctissimis Episcopis, & honoratissimis, dilectis in Spiritu sancto fratribus, & comministris, nec non spectatissimis Clericis magnæ Christi Ecclesiæ, quæ apud nos est, producta sunt in medium Capitula quædam inscripta nomine decessoris nostri Patriarchæ senis, Domini Cyrilli: de quibus quæsitum est, eane oporteret ut pia reputare & amplecti, an verò ut ab Orientali nostra & Apostolica Christi Ecclesia longè aliena rejicere. Quare universa hæc sacra Synodus, horum singulis diligenter examinatis, & investigatâ eorum quæ scripta erant, sententiâ, censuit hæc omnia

(τοῦ ἑβδόμου ἐκτὸς) τῆς Καλβινικῆς ἀντεχόμενα αἱρέσεως, καὶ ὡς πορρωτάτω τῆς χριστιανικῆς τῶν ἀποστολικῶν θρησκείας ἀπέχοντα.

α'. Ἐν μὲν γὰρ τῷ πρώτῳ, τὴν ἀΐδιον καὶ ὑπαρκτικὴν τοῦ ἁγίου πνεύματος πρόοδον, ἐκ πατρὸς καὶ υἱοῦ ὑποτίθησι, παρὰ γνώμην τῆς καθολικῆς ἐκκλησίας.

β'. Ἐν δὲ τῷ δευτέρῳ τὴν ἁγίαν γραφὴν γυμνὴν ἐξηγήσεων τῶν τῆς ἐκκλησίας ἁγίων πατέρων δεχόμενος τὰ ταῖς οἰκουμενικαῖς συνόδοις θεοπνεύστως ἐκφωνηθέντα διαβάλλει, καὶ τὰς ἀρχῆθεν κατὰ διαδοχὴν κεκρατηκυίας ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἀποπέμπεται παραδόσεις, ὧν ἐκτὸς εἰς ψιλὸν ὄνομα περισταίη τὸ κήρυγμα ἡμῶν, ᾗ φησι Βασίλειος.

γ'. Ἐν δὲ τῷ τρίτῳ τὸν θεὸν ὑποτίθησιν ἀδικώτατον, τυραννικῇ χρώμενον ἐξουσίᾳ, μόνῃ λέγων τῇ θελήσει αὐτοῦ τοὺς μὲν εἰς δόξαν προορίσαι, τοὺς δὲ ἀποβάλλειν εἰς κόλασιν, μηδαμῶς τὰ ἔργα αὐτῶν σκοπούμενον. οὗ τί ἂν γένοιτο ἀσεβέστερον;

δ'. Τὸ δὲ τέταρτον τῷ περὶ αὐτοῦ ὅλως ἀντίκειται. εἰ γὰρ οὐκ αἴτιος τῶν κακῶν ὁ θεὸς, πῶς τῷ οἰκείῳ θελή-

(præter ſeptimum) Calvinicam hæreſim profiteri, & à Catholica Orientalium religione longiſſimè diſcrepare.

I. In primo enim æternam & ſubſtantivam Spiritus ſancti proceſſionem ex Patre Filioque conſtituit, præter Catholicæ Eccleſiæ mentem.

II. In ſecundo verò ſanctam Scripturam ſine interpretationibus ſanctorum Eccleſiæ Patrum recipiens, calumniatur quæ divino afflatu ab œcumenicis ſynodis pronunciata ſunt, repudiatque traditiones, quæ per orbem univerſum obtinuerunt, ſine quibus fides omnis noſtra in vanum & tenue nomen abiret, inquit Baſilius.

III. In tertio autem Deum facit iniquiſſimū, tyrannicâ poteſtate utentem, ajens eum ſolâ ſuâ voluntate alios prædeſtinare ad gloriam, alios in pœnam mittere, nullâ operum habitâ ratione. Quo quid magis impium proferri poſſit?

IV. Quartum autem cum præcedenti omninò pugnat. Si enim malorum cauſa non eſt Deus, quomodo propriâ

 volun-

θελήματι τοὺς ἀδοκίμους ἐπὶ τῷ κακοποιεῖν ἐξεπιτηδὲς προήγαγεν;

ε΄. Ἐν δὲ τῷ πέμπτῳ τὴν θείαν παρεξηγᾶ πρόνοιαν, περιάπτων αὐτῇ κυρίως καὶ πρωτουργῶς τὰ κατὰ παραχώρησιν αὐτῆς ὑπὸ τῶν πονηρῶν ἀνθρώπων τε, καὶ δαιμόνων γινόμενα, ὡς ἐξ ὧν παράγει μαρτυριῶν ἐπιστώθη. τοῦτο δὲ πᾶσαν ὑπερβαίνει βλασφημίαν.

ς΄. Τὸ δὲ ἕκτον, περικλείων πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ὑπὸ τὴν ἁμαρτίαν, οὐ μόνον τὴν προπατορικὴν, ὡς καὶ ἡ ἐκκλησία ἡμῶν ὁμολογεῖ, ἀλλὰ καὶ τὴν ἐξ αὐτῆς ἀναβλύζουσαν προαιρετικὴν, καὶ θανάσιμον, ἣν καρποὺς ἐκείνης ὀνομάζει, καὶ μηδένα ἐξαίρων ταύτης (τῆς θανασίμου δηλαδὴ, τῆς κατάκριτον ἐκτελούσης τὸν ταύτην ἐργαζόμενον) οὔτε τὴν ἐν γεννητοῖς γυναικῶν μείζονα. οὔτε τὴν ἐν γυναιξὶν εὐλογημένην, τὴν ἄμωμον καὶ ἀειπαρθένον Μαρίαν, ἢ προπάτοράς τινας, ἢ προφήτας, καὶ ἀποστόλους, ὡς ἀλλότριον καὶ αὐτὸ τῆς πίστεως ἡμῶν κέκριται.

η΄. Ἐν δὲ τῷ ὀγδόῳ τὴν τῶν ἁγίων ἀναιρεῖ μεσιτείαν, τάς τε τῶν ἀγγέλων προ-

στασίας,

voluntate, reprobos de induſtria ad peccandum impellit?

v. In quinto verò de divina providentia perperam loquitur, tribuens ipſi propriè ac primariò, quæ à malis tum hominibus, tum Angelis, ex ejus permiſſione fiunt; ut liquet ex iis, quæ adducit, teſtimoniis. hoc verò blaſphemiam omnem excedit.

vi. Sextum autem naturam humanam omnem obnoxiam peccato faciens, non originali tantùm, ut & noſtra profitetur Eccleſia, ſed & quod ex eo ſcaturit, voluntario ac mortali, quod illius fructum quendam appellat, neminemque ab eo immunem volens (mortali ſcilicet, quod condemnationi obnoxium reddit eum, qui ipſum operatur) ne maximum quidem inter natos mulierum, neque benedictam in mulieribus, aut Patriarchas ullos, aut Prophetas, & Apoſtolos, ut alienum à fide noſtra judicatum eſt.

viii. In Octavo verò ſanctorum interceſſiones tollit, & Angelorum pro-

στασίας, καὶ μὴν καὶ τὰς τῶν ἱερέων ὑπὲρ
παντὸς τοῦ κόσμου ἐπιδείξεις τε καὶ μεσιτείας,
αἷς τὴν ἐκκλησίαν διατηρεῖσθαι πιστεύο-
μεν.

θʹ. Ἐν δὲ τῷ ἐνάτῳ τὴν πίστιν γυμνὴν τῶν
ἔργων σώζειν ὑπολαμβάνει. εἶναι δὲ ταύτην
οὐκ ἔργον ἡμέτερον, ἀλλὰ τοῦ Χριστοῦ μόνου, ἔξω-
θεν δικαιοῦντος τὸν ἄνθρωπον διὰ τῆς ζωῆς καὶ
θανάτου αὐτοῦ, ἵνα μὴ δόξῃ καὶ ὁ ἄνθρωπος
πρὸς τὴν ἑαυτοῦ τι συμβάλλεσθαι σωτηρίαν.

ιʹ. Ἐν δὲ τῷ δεκάτῳ τήν τε ἐπίγειον, καὶ
τὴν ἐν οὐρανοῖς ἐκκλησίαν συγχέων, τὴν δὲ
ἱεραρχικὴν ἀναιρεῖ ἐπιστασίαν, καὶ δι' αὐτῆς
ὅλον τὸ τῆς ἐκκλησίας πλήρωμα. οὗ τί ἂν εἴη
ἀκοσμότερον;

ιαʹ. Ἐν δὲ τῷ ἑνδεκάτῳ, μέλη τῆς ἐνταῦθα
ἐκκλησίας, μόνους τοὺς ἐκλεκτοὺς εἶναι βού-
λεται, καὶ οὐ τοὺς ἁπλῶς κοινωνοῦντας καὶ
μετέχοντας τῶν ἐκείνης μυστηρίων κατὰ πί-
στεως, ὡς καὶ τὸν Παῦλον, ὅτε τὴν ἐκκλη-
σίαν ἐπόρθει μέλος ἐκείνης εἶναι διὰ τὸ ἐκ
κοιλίας αὐτὸν ἀφωρίσθαι. τὸν δὲ Ἰούδαν ὅμοια
τοῖς λοιποῖς ἀποστόλοις δυνάμεις ἐκτελοῦν-
τα, μὴ μέλος αὐτῆς τηνικαῦτα χρηματί-
σαι.

tectiones, nec non eas, quæ à ſacerdotibus pro toto orbe fiunt, orationes, & interceſſiones, quibus Eccleſiam conſervari credimus.

IX. In nono verò fidem ſine operibus ſalvare ſtatuit; eſſe autem hanc non opus noſtrum, ſed Chriſti unius extrinſecùs juſtificantis hominem per vitam ac mortem ſuam, ne videatur quidquam ad ſalutem ſuam homo conferre.

X. In decimo autem, terreſtrem, ac cæleſtem Eccleſiam confundens, Pontificiam poteſtatem tollit, & per ipſam, totam Eccleſiæ perfectionem. Quo quid perturbatius eſſe poteſt?

XI. In undecimo verò, terreſtris hujus Eccleſiæ membra ſolos electos eſſe vult, neque eos præcisè, qui ejus myſteriorum cum fide ſunt participes; quemadmodum & Paulum, dum Eccleſiam perſequeretur, membrum illius fuiſſe, quòd ex utero prædeſtinatus eſſet: & Iudam, quum perinde atque Apoſtoli cæteri, miracula faceret, ejuſdem membrum tunc minimè fuiſſe.

XII. In

ιβ΄. Ἐν δὲ τῷ δωδεκάτῳ ἀγωνιζόμενος ὁ
συγγραφεὺς τὰς τῶν πατέρων διδασκαλίας
ἐκ μέσου ἆραι, τὴν ἐκκλησίαν φησὶν ὑπὸ
τοῦ παναγίου πνεύματος διδάσκεσθαι, ὃ ἀληθὲς
ὃν αὐτὸς κακοήθως εἰσάγει. διδάσκεται μὲν γὰρ
ὑπὸ τοῦ ἁγίου πνεύματος ἡ ἐκκλησία ἡμῶν,
ἀλλ᾽ οὐκ ἀμέσως, γλώσσαις δὲ καὶ χερσὶν ἀν-
θρωπίναις κεχρημένου τοῦ πνεύματος. ἄνθρω-
ποι γὰρ ἦσαν οἵτε προφῆται, καὶ οἱ ἀπόστολοι, οἱ τὸν
λόγον τοῦ κυρίου κηρύξαντες, καὶ γράψαντες· καί-
τοι τῶν λογίων ἐκείνων λεγομένων εἶναι τοῦ
πνεύματος καὶ θείων, ὡς ἐκεῖθεν ἐμπνευσθέν-
των, καὶ μηδὲν κεκτημένων ἀνθρώπινον. καὶ ἡ
ἐκκλησία γοῦν ὑπὸ θεοπνεύστων λογίων τῶν
πατέρων διδασκομένη, οὐ λέγεται ὑπ᾽ ἀν-
θρώπων, ἀλλ᾽ ὑπὸ τοῦ πνεύματος διδάσκε-
σθαι. ἐκεῖνοι γὰρ πνεύματι θείῳ κινούμενοι δι-
δάσκουσιν ἡμᾶς, οὐ κατ᾽ ἄνθρωπον, ἀλλὰ
καθ᾽ ἣν ὑπὸ τοῦ πνεύματος ἔλαβον ἔμπνευ-
σιν, ὃ δῆλον ἐξ ἧς πρὸς ἀλλήλους ἔχουσι συμ-
φωνίας. τὸ δὲ τὴν ἐκκλησίαν ἀποφαίνεσθαι
(ἐν τῷ αὐτῷ κεφαλαίῳ) δυνατὸν εἶναι ἁ-
μαρτάνειν, καὶ ταῦτα τὰ πρεσβεῖα κεκτημένην
διδάσκαλον, καὶ τὸν Χριστὸν κεφαλήν,
περὶ ἧς εἴρηται, ὅτι σπίλον ἢ ῥυτίδα οὐκ ἔχει,
ἀλλ᾽

XII. In duodecimo verò enitens ſcriptor Patrum doctrinas è medio tollere, Eccleſiam ait à Spiritu ſancto doceri; quod verum quum ſit,ab eo eſt malignè pronuntiatum. Nam docetur quidem à Spiritu ſancto Eccleſia noſtra, ſed non immediatè,at hominum manibus atque linguis utente Spiritu. Homines enim erant,& Prophetæ,& Apoſtoli,qui verbum Domini prædicaverunt, conſcripſerúntque, quamvis oracula illa dicerentur eſſe Spiritus ſancti & divina,quaſi inde afflata, nihilque humani habentia. Eccleſia igitur inſpiratis divinitus Patrum oraculis edocta, non ab homine, ſed à Spiritu ſancto doceri dicitur. Illi enim divino impulſi Spiritu nos docent, non ſecundum hominem, at ſecundum eum, quem à Spiritu acceperunt afflatum:quod ex ea,quæ inter illos eſt,concordia manifeſtum eſt. Quod verò hoc ipſo in capite dicatur fieri poſſe ut erret Eccleſia,ídque quum & doctorem Spiritum,& Chriſtum caput habeat,quam neque maculam habere, neque rugam,

ſed

ἀλλ' ὅλη ἐστὶ καλὴ καὶ τελεία, ὡς δυσσεβὲς ἀποκεκήρυκται.

ιγ'. Τὸ δὲ δέκατον τρίτον, ἐκβάλλει τὰ κατὰ τῶν ἔργων τῆς τῶν ἀνθρώπων σωτηρίας, ἀναιροῦν διὰ τούτου, τόγ' ἐπ' αὐτῷ, οὐ μόνον ἀρετὴν πᾶσαν, καὶ βίον ἔνθεον, ἀλλὰ πᾶσαν τὴν ἱερὰν γραφὴν, ἣ ἐπὶ τὰς ἀγαθὰς τῶν πράξεων παρορμῶσαν, ἐφ' ᾧ σωτηρίας τύχειεν.

ιδ'. Τὸ δὲ τέταρτον καὶ δέκατον κατὰ τοῦ αὐτεξουσίου στρατευόμενον τὴν ἀνθρωπίνην παρασαλεῦσαι φύσιν ἀποπειρᾶται, τὸ εἶναι αὐτῆς κεκτημένην ἐν τῷ λογικῷ τε, καὶ αὐτεξουσίῳ.

ιε'. Ἐν δὲ τῷ δεκάτῳ πέμπτῳ, τὰ πέντε τῆς ἐκκλησίας ἀρνεῖται μυστήρια, τὴν ἱερωσύνην, τὸ ἱερὸν μύρον, τὸ εὐχέλαιον, τὴν διὰ τῆς μετανοίας ἐξομολόγησιν, καὶ τὸν τίμιον γάμον, ἃ πάντα ὡς ἱερὰ, καὶ θείας χάριτος μεταδοτικὰ, ἡμῖν ἡ ἀρχαία κατέλιπε παράδοσις.

ις'. Καὶ τὰ λοιπὰ δὲ δύο καθομολογῶν μυστήρια, ἐν τοῖς δυσὶν ἐφεξῆς κεφαλαίοις, οὐχ ὑγιῶς τὴν δύναμιν αὐτῶν ἐκτίθησι. τῷ μὲν γὰρ βαπτίσματι. οὕτω δικαιοῦ-

σθαι

ſed totam pulchram & perfectam eſſe dictum eſt, ut impium eſt damnatum.

XIII. Decimumtertium autem nullam vult eſſe bonis operibus in hominum ſalute partem, hoc uno tollens, quantum quidem in ipſo eſt, non ſolùm virtutem omnem, cæleſtemque vitam, ſed & ſcripturam omnem ſacram, quæ homines hortatur ad bonas actiones, ut ſalutem conſequantur.

XIV. Decimum quartum autem contra liberum arbitrium pugnans, naturam humanam evertere molitur, cujus eſſe in ratione, ac libertate poſitum eſt.

XV. In decimo quinto, negat Eccleſiæ Sacramenta quinque; Sacerdotium, ſacram Vnctionem, ſacrum Oleum, Confeſſionem cum pœnitentia, & honorabiles nuptias; quæ omnia ut ſacra, & divinam gratiam conferentia, antiqua nobis traditio reliquit.

XVI. Duo verò alia Sacramenta admittens, duobus deinceps in capitibus eorum virtutem non rectè exponit. Nam Baptiſmo quidem ita juſtifi-

cari

σθαι οἴεται τὸν βαπτιζόμενον, ὡς μὴ οἷόν τε εἶναι κατ' οὐδένα τρόπον ἀπολέσθαι, ἐπιλελησμένος τῶν μὴ τοῦτον φυλαξάντων ἀμόλυντον, μήτε τὴν πίστιν μέχρι τέλους τετηρηκότων, καὶ διὰ τοῦτο μηδὲν τῷ λουτρῷ ἀπωναμένων, ἀλλὰ τῇ αἰωνίῳ κατακριθέντων κολάσει.

ιζʹ. Τὴν θείαν δὲ εὐχαριστίαν οὕτω διαρρήγνυσιν, ὡς μηδὲν αὐτῇ ἕτερον εἰ μὴ τύπον ψιλὸν ἐγκαταλείπειν, ὡς ἂν εἰ ἔτι τῇ σκιᾷ τοῦ παλαιοῦ νόμου ἐλατρευόμεθα. οὐ γάρ φησιν εἶναι σῶμα Χριστοῦ ἀληθινὸν τὸν ὁρώμενον καὶ ἐσθιόμενον ἄρτον, ἤδη ἁγιασθέντα, ἀλλὰ τὸ νοούμενον πνευματικῶς, ἢ μᾶλλον εἰπεῖν, φανταζόμενον· ὃ πάσης ἀσεβείας ἀνάπλεων. ὁ γὰρ Ἰησοῦς οὐκ ἔφησε, τοῦτό ἐστιν ὁ τύπος τοῦ σώματός μου, ἀλλά, τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου, τοῦτο δηλαδὴ τὸ ὁρώμενον, καὶ λαμβανόμενον, καὶ ἐσθιόμενον, καὶ κλώμενον, ἁγιασθὲν ἤδη, καὶ εὐλογηθέν.

ιηʹ. Ἔσχατον δὲ πάντων, ἐπὶ προφάσει δῆθεν τοῦ καταβαλεῖν τὸ καθαρτήριον πῦρ, τὰς νενομισμένας ἡμῖν

ἐπὶ

cari baptizatum putat, ut perire is nullo modo poſſit; reſpectum ad eos non habens, qui ſacramentum hoc incontaminatum non cuſtodierunt, neque fidem ſervaverunt ad finem uſque, adeoque fructum lavacri nullum cepere, ſed æternis ſuppliciis damnati ſunt.

XVII. Divinam autem Euchariſtiam ita convellit, ut nihil ipſi aliud, niſi nudam figuram relinquat, quaſi adhuc in umbra veteris legis ſerviremus. Negat enim eum, qui videtur, & comeditur, panem jam ſanctificatum, eſſe verum Chriſti corpus, ſed ſpiritaliter tantùm intellectum, aut potiùs imaginando fictum, quod omni impietate plenum eſt. Neque enim dixit Ieſus, Hoc eſt figura corporis mei; ſed, Hoc eſt corpus meum, Hic eſt ſanguis meus; hoc ſcilicet quod videtur, & accipitur, & comeditur, & frangitur, ſanctificatum jam, & benedictum.

XVIII. Poſtremum verò omnium, ut prætextum videlicet quærat rejiciendi ignis Purgatorii, id agit ut repudiet ſo-

ἐπὶ τοῖς ἀποιχομένοις μνείας ἐκβαλεῖν κατεπείγεται, δι' ὧν ἐλπίζομεν ἄνεσιν αὐτοῖς, καὶ ἀναψυχὴν παρὰ θεοῦ παραπέμπεσθαι τῶν κατεχόντων αὐτοὺς ἀνιαρῶν.

Πρὸς τούτοις ἐνεφανίσθησαν, καὶ ἃς τοῖς κεφαλαίοις προσέθηκεν, ἐρωτήσεις, καὶ ἐγνώσθησαν πάσῃ τῇ ἁγίᾳ ταύτῃ συνόδῳ, οὐδὲν ἄμεινον τῶν κεφαλαίων διακείμεναι. Οὐ μόνον γὰρ τὰς τῆς γραφῆς ἑρμηνείας, τὰς τοῖς πατράσιν ἡμῶν ἐκπονηθείσας, ὡς καὶ πρότερον, παρακρούεται, ἀλλὰ καί τινα τῶν ἐκείνης ἀθετεῖ βιβλίων, ἅπερ αἱ ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι, ὡς κανονικὰ ἐδέξατο. καὶ ἐπὶ πᾶσι, τὴν τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων σχετικὴν ἀποβάλλεται προσκύνησιν, ἣν ἡ ἑβδόμη ἐκύρωσεν οἰκουμενικὴ ἁγία σύνοδος.

ΔΙΑ ΤΟΥΤΟ τάτε κεφάλαια ταῦτα, καὶ τὰς ἐρωτήσεις κοινῇ ψήφῳ τελείως (φησὶν ἡ ἁγία σύνοδος αὕτη) ἀνατρέπομεν, καὶ τῆς ἡμετέρας αὐλῆς ἀπελαύνομεν, ὡς αἱρέσεων πεπληρωμένα, καὶ πάντη ἀλλότρια τῆς ὀρθοδόξου ἡμῶν θρησκείας, τόντε συγγράψαντα

ξένον

lennes nobis ac legitimas pro defunctis commemorationes, per quas ſperamus requiem iis, & reſpirationem ab acerbitatibus, quæ illos premunt, à Deo eſſe concedendam.

Præterea prodierunt & interrogationes, quas Capitulis adjunxit, & judicatæ illæ ſunt, univerſæ huic Synodo, nihilo Capitulis meliores. Non ſolùm enim Scripturæ interpretationes à Patribus noſtris elaboratas, ut priùs, rejicit, ſed & libros ejus aliquos abrogat, quos ſanctæ & œcumenicæ Synodi, ut canonicos receperunt. Ad hæc omnia, venerabilium & ſanctarum imaginum relativum cultum reſpuit, quem ſancta œcumenica Synodus ſeptima confirmavit.

QVAPROPTER, & hæc Capitula, & interrogationes, communi ſuffragio plenè, ait ſacra hæc Synodus) ſubvertimus, & ab aula noſtra repellimus, tanquam hæreſibus repleta, & omnino ab orthodoxa noſtra religione aliena, cúmque qui iſta conſcripſit exſortem fidei noſtræ judicamus: omnibus declarantes

ξένον τῆς ἡμῶν κρινομένης πίστεως, πᾶσι δηλο-
ποιοῦντες, ὡς καταψεύδεται ἡμῶν ὁ τούτων
συγγραφεὺς, λέγων τὴν ἰδίαν αὐτοῦ πίστιν
ἀνατολικὴν ὁμολογίαν εἶναι τῆς χριστιανι-
κῆς πίστεως τῶν γραικῶν, Καλβινικὴν οὖ-
σαν, καὶ οὐχ ἡμετέραν. τοὺς δὲ ταῦτα τὰ κε-
φάλαια, ὡς ἀληθῆ, καὶ εὐσεβῆ δῆθεν
ἀναγινώσκοντας, καὶ διακρατοῦντας, ὑπερ-
μαχοῦντας αὐτῶν, εἴτε λόγοις, εἴτε συγ-
γράμμασιν, ὡς συμφρονοῦντας, καὶ συγ-
κοινωνοῦντας αὐτοῦ ταῖς αἱρέσεσι, καὶ λυμεῶ-
νας τῆς τοῦ Χριστοῦ ἐκκλησίας, ἀποβαλλόμεθα
τῆς τῶν πιστῶν ὁμηγύρεως, καὶ ὡς ἐθνικοὺς
καὶ τελώνας λογίζεσθαι διαταττόμεθα, μη-
δεμίαν κοινωνίαν ἔχοντας μεθ' ἡμῶν, ὁποίας
ἂν εἴησαν καταστάσεως. καὶ ἔστωσαν τῷ αἰω-
νίῳ ἀναθέματι ὑπόδικοι καὶ ἀφωρισμέ-
νοι παρὰ πατρὸς, υἱοῦ, καὶ ἁγίου πνεύμα-
τος, τοῦ ἑνὸς τῇ φύσει, μόνου θεοῦ. ἔν
τε τῷ νῦν αἰῶνι καὶ τῷ μέλλοντι, καὶ κα-
τηραμένοι, καὶ ἀσυγχώρητοι, καὶ ἄλυτοι
μετὰ θάνατον, καὶ μέτοχοι τῆς αἰωνίου κολάσεως. οὔτε
γάρ ποτε ἡ ἡμετέρα ἐκκλησία τοῖς τοιούτοις
καθυπήχθη δόγμασι, μήτε μὴν εἰς τύπον το-
σοῦτον κατενεχθείη, χάριτι τοῦ ὁδηγοῦντος αὐ-
τήν,

eorum ſcriptorem falsò nos criminari, dum ait privatam ſuam fidem, eſſe Orientalem Chriſtianæ fidei Græcorum profeſſionem, quum ſit Calvinica, non noſtra. Eos verò, qui hæc Capitula, ut vera & pia ſcilicet legunt, & pertinaciter retinent, eaque ſive verbis, ſive ſcriptis defendunt, tanquam conſentientes & communicantes ejus hæreſibus, & corruptores Eccleſiæ Chriſti, arcemus à congregatione fidelium, & tanquam Ethnicos ac Publicanos haberi præcipimus, nullam habentes communionem nobiſcum, cujuſcunque conditionis ſint. & ſunto æterno anathemati obnoxii, & ſegregati à Patre, Filio, & Spiritu ſancto, uno ſecundum naturam ſolo Deo, & in hoc futuroque ſæculo, & maledicti, & expertes veniæ, & inſolubiles poſt mortem, & æternæ damnationis participes. Neque enim unquam Eccleſia noſtra talibus dogmatibus deluſa eſt, atque utinam nunquam in poſterum tantopere præcipitetur, gratià regentis ipſam, & gubernantis Spiritus. In confirmatio-

τὴν, καὶ κυβερνῶντος πηδαλίου. Εἰς πίστωσιν δὲ τῆς παρούσης πράξεως καὶ ἀσφάλειαν, κατεστάθη τὸ παρὸν ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ὑπογραφὲν ἰδίαις χερσὶ τῶν ἱερωτάτων ἀρχιερέων, καὶ λογιωτάτων κληρικῶν.

Εν ἔτει σωτηρίῳ χιλιοστῷ, ἑξακοσιοστῷ, τεσσαρακοστῷ δευτέρῳ, ἐν μηνὶ Μαΐῳ, Ινδικτιῶνος δεκάτης.

ΠΑΡΘΕΝΙΟΣ ἐλέῳ θεοῦ Αρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ρώμης, καὶ οἰκουμενικὸς Πατριάρχης.

Τῇ συνοδικῇ ταύτῃ ἐπιστολῇ τοῦ παναγιωτάτου πατρὸς καὶ ποιμένος ἡμῶν Πατριάρχου Κωνσταντινουπόλεως συμφωνῶν ἐν πᾶσι καὶ συναινῶν ἐγὼ Πέτρος Μογίλας, ταπεινὸς καὶ Αρχιεπίσκοπος Μητροπολίτης Κιόβου, καὶ Αλικίας, καὶ πάσης Ρωσίας, ἔξαρχος τοῦ ἁγίου Αποστολικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως, Αρχιμανδρίτης τῆς λαύρας Πιετζαρίου, ὑπογράφω ἰδίᾳ χειρὶ δι' ἐμέ τε. καὶ ἐκ προσώπου πάσης τῆς ἐν Χριστῷ ἐκκλη-

mationem verò & auctoritatem præsentis actionis, mandata sunt præsentia sacro Codici magnæ Christi Ecclesiæ; quæ apud nos est, subscripta propriis manibus sanctissimorum Episcoporum, & spectatissimorum Clericorum.

Anno salutis millesimo sexcentesimo quadragesimo secundo: mense Maio: Indictione decimâ.

PARTHENIVS misericordiâ Dei Archiepiscopus Constantinopoleos novæ Romæ, & œcumenicus Patriarcha.

Synodicæ huic Epistolæ sanctissimi Patris, & Pastoris nostri, Patriarchæ Constantinopolitani consentiens in omnibus ego Petrus Mogilas, humilis Archiepiscopus Metropolitanus Ciobi, & Haliciæ, & omnis Russiæ, Exarchus sancti Apostolici throni Constantinopoleos, Archimandrita Lauræ Pietzarii, subscribo propria manu, tum meo nomine, tum nomine omnis Ecclesiæ

ἐκκλησίας τῆς ὀρθοδόξου, καὶ καθολικῆς, τῆς οὔσης ἐν τῇ μικρᾷ Ῥωσίᾳ.

Ἀθανάσιος Πουσίνας, ἐπίσκοπος Λουκεωρίου, καὶ Ὀστρογίου.

Ἀρσένιος Ζελιβόρσκιος, ἐπίσκοπος Λεοπόλεως Ἀλικίας, καὶ Καμινικίας τῆς Ποδωλίας.

Σίλβεστρος Οὐλεβίτζιος Βοιουΐνσκιος, ἐπίσκοπος Πρεμισλάου, καὶ Σαμβωρίου.

Σίλβεστρος Κόσοφος, ἐπίσκοπος Μστισλαβίας, Ορσίας, καὶ Μογιλαβίας.

ὁ Ἡρακλείας, Ἰωαννίκιος.

ὁ Λαρίσσης, Γρηγόριος.

ὁ Χαλκηδόνος, Παχώμιος.

ὁ Σεῤῥῶν, Δανιήλ.

Οἱ ἐπίτροποι τῆς συνόδου.

ὁ Κυζίκου, Ἄνθιμος.

ὁ πρώην Νικαίας, Πορφύριος.

ὁ Κορίνθου, Γρηγόριος.

ὁ Φιλίππων, Γεράσιμος.

ὁ Χίου, Ἱερεμίας.

ὁ Νικαίας, Πορφύριος.

ὁ Προύσης, Χρύσανθος.

ὁ Βιδύνης, Σωφρόνιος.

ὁ Φιλιππουπόλεως, Γαβριήλ.

ὁ Λήμνου, Ἰγνάτιος.

Βαρ-

Christianæ, orthodoxæ & Catholicæ, quæ est in Russia minore.

Athanasius Pusinas Episcopus Luceorii, & Hostrogii.

Arsenius Zeliborscius Episcopus Leopoleos Haliciæ, & Caminiciæ Podoliæ.

Sylvester Vlebitzius Bœutinscius Episcopus Premislai, & Samborii.

Sylvester Cossophus Episcopus Msteslaviæ, Orsiæ, & Mogilaviæ.

Ioannicius, Heracleæ.

Gregorius, Larissæ.

Pachomius, Chalcedonis.

Daniel, Serrarum.

Curatores Synodi.

Anthimus, Cyzici.

Porphyrius, qui antè Nicææ fuit.

Gregorius, Corinthi.

Gerasimus, Philipporum.

Ieremias, Chii.

Porphyrius, Nicææ.

Chrysanthus, Prusæ.

Sophronius, Bidynæ.

Gabriel, Philippopoleos.

Ignatius, Lemni.

Βαρλαὰμ Μητροπολίτης Σοτζάβας καὶ πάσης Μολδοβλαχίας, καὶ Ἔξαρχος Πλαγιανῶν.

Εὐλόγιος ἐπίσκοπος Ρωμαίου.

Αναστάσιος, ἐπίσκοπος Ραδαυτζίου.

Γεώργιος ἐπίσκοπος Χουσίου.

Σωφρόνιος ἱερομόναχος, καὶ καθηγούμενος τῆς ἡγεμονικῆς μονῆς τῶν τριῶν ἱεραρχῶν τῆς ἐν Γιασίῳ Μολδοβλαχίας.

Ο κῆρυξ τοῦ εὐαγγελίου Μελέτιος Συρίγος, ἱερομόναχος.

ὁ μέγας ἀρχιμανδρίτης τῆς μεγάλης ἐκκλησίας Φιλόθεος.

ὁ μέγας πρωτοσύγκελος τῆς μεγάλης ἐκκλησίας, Νικηφόρος.

ὁ μέγας λογοθέτης τῆς μεγάλης ἐκκλησίας, Λάσκαρις.

ὁ μέγας οἰκονόμος τῆς μεγάλης ἐκκλησίας, Χρυσόδουλος, ἱερεύς.

ὁ μέγας σακελλάριος τῆς μεγάλης ἐκκλησίας, Θεόλογος, ἱερεύς.

ὁ μέγας χαρτοφύλαξ τῆς μεγάλης ἐκκλησίας, Εὐστάθιος, ἱερεύς.

ὁ μέγας ἐκκλησιάρχης τῆς μεγάλης ἐκκλησίας, Δανιήλ.

ὁ νο-

Barlaam Metropolitanus Sotzavæ, & omnis Moldaviæ, & Exarchus Plagenarum.

Eulogius, Episcopus Romani.

Anastasius, Episcopus Rhadautzii.

Georgius, Episcopus Chusii.

Sophronius Hieromonachus, & Præfectus Monasterii trium Præsulum, quod est Iasii Moldaviæ.

Meletius Syrigus, Hieromonachus, Prædicator Euangelii.

Philotheus, magnus Archimandrita magnæ Ecclesiæ.

Nicephorus, magnus Protosyngelus magnæ Ecclesiæ.

Lascaris, magnus Logotheta magnæ Ecclesiæ.

Christodulus, sacerdos, magnus Oeconomus magnæ Ecclesiæ.

Theologus, sacerdos, magnus Sacellarius magnæ Ecclesiæ.

Eustathius, sacerdos, magnus Chartophylax magnæ Ecclesiæ.

Daniel, magnus Ecclesiarcha magnæ Ecclesiæ.

Pa-

ὁ νομοφύλαξ τῆς μεγάλης ἐκκλησίας, Παρασκευᾶς ἱερεύς.

ὁ σακελλίου τῆς μεγάλης ἐκκλησίας, Γεώργιος.

ὁ πρωτέκδικος τῆς μεγάλης ἐκκλησίας, Θωμᾶς.

ὁ πρωτονοτάριος τῆς μεγάλης ἐκκλησίας, Φίλιππος.

ὁ μέγας πριμμικίριος τῆς μεγάλης ἐκκλησίας Φίλιππος.

ὁ δικαιοφύλαξ τῆς μεγάλης ἐκκλησίας, Μιχαήλ.

ὁ μέγας διερμηνευτὴς τῆς μεγάλης ἐκκλησίας, Ῥάλης.

ὁ λογοθέτης τῆς μεγάλης ἐκκλησίας, Νικόλαος.

ὁ ὑπομνηματογράφος τῆς μεγάλης ἐκκλησίας, Κωνσταντῖνος.

ὁ πρωταποστελάριος τῆς μεγάλης ἐκκλησίας, Κωνσταντῖνος.

ὁ λογοθέτης τοῦ γενικοῦ, Χρυσόσκουλος.

ὁ νοτάριος τῆς μεγάλης ἐκκλησίας, Δημήτριος.

Parasceuas, sacerdos, Nomophylax magnæ Ecclesiæ.

Georgius, minor Sacellarius magnæ Ecclesiæ.

Thomas, Protecdicus magnæ Ecclesiæ.

Philippus, Protonotarius magnæ Ecclesiæ.

Philippus, magnus Primicerius magnæ Ecclesiæ.

Michaël, Dicæophylax magnæ Ecclesiæ.

Rhales, magnus Interpres magnæ Ecclesiæ.

Nicolaus, Logotheta magnæ Ecclesiæ.

Constantinus, à commentariis magnæ Ecclesiæ.

Constantinus, Protapostolarius magnæ Ecclesiæ.

Chrysosculus, Logotheta ærarii generalis.

Demetrius, Notarius magnæ Ecclesiæ.

ΤΩ ΕΚΛΑΜΠΡΟΤΑΤΩ
καὶ μεγαλοπρεπεστάτῳ Δουκὶ, θεοσεβεστάτῳ τε αὐθέντῃ καὶ ἡγεμόνι πάσης Μολδοβλαχίας, Κυρίῳ, Κυρίῳ ἸΩΑΝΝΗ ΒΑΣΙΛΕΙΩ ΒΩΙΒΟΝΔΑ, σωτηρίαν παρὰ Θεοῦ.

ΣΟΝ ἦν ὡς ἀληθῶς, Δοὺξ μεγαλοπρεπέστατε, τύποις ἐκδοῦναι καὶ τὰ συνοδικὰ ταυτὶ γράμματα. ἐπειδὴ γάρ σοι τὸ σύνθημα δέδωκεν ὁ Κύριος, τοῦ εἶναί σε τῆς ἐκκλησίας αὐτοῦ πρόμαχον, καὶ τῶν αἱρέσεων γενναῖον καταλύτην, σὲ μόνον ἐκ πάντων τῶν ἐπὶ γῆς ἡγεμόνων, ὡς εὔχρηστον αὐτῷ ἐκλεξάμενος, τίνι ἂν ἄλλῳ ἐπέκειτο τὰς κακοδοξίας στηλιτεῦσαι, εἰ μὴ ἄρα τῇ σῇ θεοσεβεστάτῃ μεγαλονοίᾳ, ὃς ἰδὼν τὰς τοῦ Χριστοῦ ἐκκλησίας παρατιλομένας, ἐπὶ τοῖς νεωστὶ ἀναφανεῖσι καλουϊνιακοῖς κεφαλαίοις, διατεινομένοις ἡμετέροις εἶναι, τῷ ἐπιγράφεσθαι, ἀνατολικὴ ὁμολογία τῆς χριστιανικῆς πίστεως, οὐδοτιοῦν κατενάρκησας, ἀλλὰ πάντα κάλων κινή-

ILLVSTRISSIMO

& Magnificentissimo Duci, Religiosissimoque Domino, & Principi omnis Moldaviæ, Domino D. IOANNI BASILIO BOIBONDA, *Salutem à Deo.*

TVUM erat certè, Dux magnificentissime, typis etiam synodicas hasce literas committere. Etenim quum hanc tibi potestatem dederit Dominus, ut esses ejus Ecclesiæ propugnator, & generosus subversor hæresum, te uno ex omnibus terræ principibus electo tanquam sibi utili; cuinam alteri incumberet pravas opiniones proscribere, nisi religiosissimæ tuæ magnificentiæ? Qui quum vidisses Christianas Ecclesias perturbatas ob Calviniaca quædam Capitula quæ recèns prodierant, contendebanturque nostra esse, quòd inscriberentur, Orientalis confessio Christianæ fidei, haudquaquam pigritatus es, sed funem omnem movere

κινήσας, οὐκ ἀπέστης, ἕως οὗ μεταπεμψάμενος
τοποτηρήτας τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ θρόνου
τῆς οἰκουμενικῆς, καὶ πάσης τῆς περὶ αὐτὸν ἱερᾶς
συνόδου, καὶ ἀπὸ Ῥωσίας Λεγάτους τοὺς ἐκεῖθεν ἐκ-
κλησίας, σὺν αὐτοῖς πάντα τὰ νενοθευμένα
κατέρραξας δόγματα, δημοσίαις βίβλοις ἐγ-
κείνας τε καὶ κυρώσας τὰ τῆς ἀνατολικῆς ἐκ-
κλησίας γνήσια διδάγματα. Ὃ νῦν πᾶσι τοῖς
χριστιανῶν παισὶν ὀρθοδόξοις ἐκκαλύπτων τὸν
ἐγκεκρυμμένον ἰὸν τοῖς κεφαλαίοις ἐκείνοις,
κοινῶς προκεῖσθαι ἐθέσπισας, ἣν ἔχει δόξαν
περὶ αὐτὰ ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλη
ἐκκλησία, ἐφ' ᾧ ἔχειε πανταχῇ τὰ τοῦ κυρίου
πρόβατα διαγινώσκειν, ὁποίων βρωμάτων
ἀπέχεσθαι χρὴ, καὶ ποίαις τισὶ νομαῖς ἀναμ-
φιβόλως προσπελάζειν· διὸ χάριτας τῷ θεῷ
ἀποδιδόντες, ἐπὶ τοῖς διὰ σοῦ παρ' αὐτοῦ
οἰκονομηθεῖσιν ἡμῖν, ἐξ ὅλης ψυχῆς ἱκετεύο-
μεν αὐτὸν, τὴν παροῦσαν ζωὴν, μακραίωνά τε
καὶ εἰρηνικὴν σοι δωρήσασθαι, τὸν τῆς ἡγεμο-
νίας θρόνον μέχρι τέλους κοσμοῦντι ἐν τῇ αὐτοῦ
χάριτι· ἐν δὲ τῇ μελλούσῃ, ἐκ τῶν ἐπὶ γῆς, εἰς
τὰ οὐράνια μεταθέσθαι σε βασίλεια.

Οἱ

vere non destitisti, donec evocatis vicem gerentibus sanctissimi & Apostolici throni œcumenici, & universâ sacrâ illius Synodo, & ex Russia, legatis ejus, quæ illic est, Ecclesiæ, cum ipsis adulterina omnia dogmata convellisti, publicis literis consignans, ratasque faciens, sinceras Orientalis Ecclesiæ doctrinas. Nunc autem omnibus Christianis orthodoxis detegens absconditum illis Capitulis virus, publicè prostare voluisti, qui de iis sentiat magna Christi, quæ apud nos est, Ecclesia; ut possent ubique dignoscere oves Domini, quibus à pabulis abstinere oporteat, & quænam ad pascua indubitanter accedere. Quapropter gratias Deo reddentes propter ea, quæ per te nobis ab ipso provisa sunt, toto ex animo ipsum precamur, ut præsentem tibi vitam longævam ac pacificam donet, principatus thronum ad finem usque ornanti, in ipsius gratia: in futura verò è terrestribus ad cælestia te palatia transmittat.

Οἱ ἀπὸ Κωνσταντινουπόλεως Λεγάτοι, καὶ Ἔξαρχοι Πατριαρχικοὶ, καὶ οἱ ἀπὸ Ῥωσίας Λεγάτοι.

ὁ πρώην Νικαίας, Πορφύριος.

Μελέτιος Συρίγος, ἱερομόναχος, καὶ κῆρυξ τοῦ εὐαγγελίου.

Ἠσαΐας Τροφίμιος ἡγούμενος τοῦ ἁγίου Νικολάου.

Ἰγνάτιος ὁ Ξενοβίκιος ὁ κῆρυξ τοῦ εὐαγγελίου.

Ἰωσὴφ Κονωνοβίκιος ἡγούμενος τῶν ἁγίων Θεοφανίων.

Ἐτυπώθη ἐν Γιασίῳ τῆς Μολδοβλαχίας, ἐν τῇ σεβασμίᾳ καὶ αὐθεντικῇ μονῇ τῶν ἁγίων τριῶν Ἱεραρχῶν κατὰ τὸ ,αχμβ΄. ἔτος τὸ σωτήριον, ἐν μηνὶ Δεκεμβρίῳ κ΄.



Legati Constantinopolitani, & Exarchi Patriarchici, missique ex Russia Legati.

Porphyrius, qui antè Nicææ fuit.

Meletius Syrigus, Hieromonachus, & prædicator Euangelii.

Esaïas Trophimius Præfectus sancti Nicolai.

Ignatius Xenovicius, prædicator Eüangelii.

Iosephi Cononovicius præfectus sanctorum Theophaniorum.

Excusum Iasii Moldaviæ, in augusto, & authentico Monasterio sanctorum trium Præsulum. Anno sal. 1642 Decemb. 20.

F I N I S.



14

O

θεοῦ

Ετυπώθη ἐν
αὐθεντικῇ
ἔτος τὸ




Depozyt w Bibliotece Jagiellońskiej
00019

...elli Lu.
...sei Conf.
...o Christi
fidei et
Sanctorum c-
...dem.
1645.